προσηκούσης ἠξίωσαν, καὶ αὖθις μαθητιῶντες οὐκ ὀλίγοι πρὸς αὐτὸν [1] ἁπανταχόθεν συνέρρεον. Τηνικαῦτα καὶ Νεκτάριος ὁ ὕστερον Ἱεροσολύμων πατριάρχης χρηματίσας, Σιναΐτης ὢν ἱερομόναχος καὶ εἰς Πελοπόννησον [2] καὶ τὰ πέριξ αὐτῆς ἐλεημοσύνης χάριν πεμφθείς, φιλοσοφίας ἕνεκεν αὐτῷ συνεγένετο, εἰ καὶ τἆλλα [3] πεπαιδευμένος ἦν· πολλοῖς γὰρ πρότερον κατά τι Κρήτην καὶ ἀλλαχόθι τοῖς διδασκάλοις ἐχρήσατο. Καὶ Γερμανὸς προσέτι ὁ ὕστερον ἐν Οὐγκροβλαχίᾳ ποιούμενος τὰς διατριβὰς || καὶ Νύσσης ὀνομασθεὶς ἀρχιερεὺς καὶ Διο- σ. 39
νύσιός τις, ἐκ Ναυπλίας [4] τῆς πρὸς τῷ Ἄργει τὸ γένος ἕλκων καὶ ταύτης ὕστερον πρόεδρος γεγονώς, καὶ συχνοὶ μετὰ τούτων ἕτεροι τῶν αὐτοχθόνων τε καὶ ἀλλοδαπῶν.

Φθάσας δὲ ἤδη ἐπὶ γῆρας βαθύ· πλειόνων γὰρ ἦν ἢ ὀγδοήκοντα ἐτῶν· καὶ μελαγχολίας ἥττων γενόμενος, ἣν καὶ ἐκ νεωτέρας ἔτι τῆς ἡλικίας εἶχεν, ὡς ἔφημεν, λύπῃ ἀμέτρῳ συσχεθείς, εἰς ἔκστασιν μικροῦ δεῖν ἦλθε φρενῶν· καὶ νῦν μὲν ἐπετείνετο αὐτῷ, νῦν δὲ ἀνύετο [5] τὸ ἀπὸ ταύτης κακόν. Ἔτυχε δὲ καὶ χρημάτων ὧν εἶχεν ἀποβολὴν παθεῖν, ὃ καὶ μᾶλλον αὐτῷ ταῦτα προὐξένησε. Δεῖγμα δὲ προφανὲς τῆς ἧς εἶχε τότε ταλαιπωρίας Ἀθήνησι καὶ ἡ πρὸς τὸν Εὐγένιον ἣν πέπομφεν [6] ἐκεῖθεν ἐπιστολὴ ἐν Μεσολογκίῳ διατρίβοντα, μετακαλούμενος τοῦτον ὡς αὐτὸν ἐλθεῖν, ἐπισκεψόμενον καὶ παραμυθήσοντα καὶ μαθημάτων τινῶν γνῶσιν ὧν οὐδέποτε ἤκουσεν ὑπισχνούμενος, μάλιστα τῶν ἀπὸ θεολογίας, ἐν ᾗ καὶ ὑπέγραψεν ἑαυτὸν Ὁ τάλας Κορυδαλλεύς. Ἀλλ' ὁ Εὐγένιος οὕτως ἔχοντα τοῦτον εἰδώς, σκῆψιν τοῦ μὴ δύνασθαι πρὸς αὐτὸν ἐλθεῖν εὑρηκώς, ἔμεινε κατὰ χώραν. Ὁ δὲ μετ' ὀλίγον αὐτόθι τὸν βίον κατέλυσε. Καὶ οὕτω τὰ περὶ αὐτὸν συνηνέχθη γενέσθαι, τούτου μόνον || ἐπὶ τέλει ἀξιωθεὶς τῆς αὐτοῦ βιοτῆς, σ. 40
τῆς ἐν τῇ πατρίδι ταφῆς.

Ὁ δὲ Εὐγένιος, εἰ καὶ τότε ἐν Μεσολογκίῳ ἦν, ἀλλὰ πρὸ τῆς ἐκεῖσε μεταβάσεως ἐν τῷ Ἀνατωλικῷ διέτριβεν, ὡς ἔφθημεν ἀνωτέρω εἰπόντες, ἐκ τῆς Ἄρτης ἐλθών, καὶ διῆγε τὸν βίον εὐθύμως τε καὶ θεοφιλῶς μετὰ τῶν ἐνταῦθα φίλων, καὶ φοιτητῶν ἱκανῶν εἶχε περὶ αὐτὸν χορόν, πρωτεύοντος πάντων Γρηγορίου τοῦ Μανέσιος, οὗ καὶ ἀνωτέρω [7] ἐμνήσθημεν. Ὧν εἷς καὶ Ἰάκωβος ἦν ὁ ὕστερον ἐπίσκοπος

[1] αὐτοὺς [2] πελοπόννησον [3] τ'ἄλλα [4] ναυπλοίας [5] Γραπτέον ἀνεῖτο [6] πέμπομφεν [7] ἀνωτέρῳ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Λητζᾶς καὶ Ἀγράφων γεγονὼς, ἐκ Καρπενησίου ἐλθών. Ἀλλ' ἡ εἰς Μεσολόγκιον αὐτοῦ μετάβασις ἀπὸ τοιαύτης ἔτυχε γενέσθαι αἰτίας· οὐδὲ γὰρ ἐπαύετο τῶν κακῶν ὁ ἐφευρετὴς ἠρεμεῖν καὶ μὴ συνεχῶς ὁπλίζεσθαι κατ' αὐτοῦ.

Ὁ τὴν ἡγεμονίαν τῶν ἐνταῦθα κατέχων τότε χωρῶν ἄνδρας τινὰς Σακαρεσσιάνους ἀπὸ χωρίου τινὸς Σακαρέσσιον οὕτω καλουμένου καθείρξας ἐν τῇ εἱρκτῇ[1] ἔνδον τοῦ Ἀνατωλικοῦ, πολλοῖς ἐξέθλιβε τούτους κακοῖς, χρημάτων ἀριθμὸν αὐτοὺς ἀπαιτῶν τὴν δύναμιν αὐτῶν ὑπερβάλλοντα.

Ὁ δὲ θαυμάσιος καὶ ἱερὸς οὗτος ἀνὴρ, οὕτως ἔχοντας τούτους ὁρῶν, εἰ καὶ κατὰ μηδὲν ἄλλο βοηθεῖν αὐτοῖς οἷός τε ἦν (συμπαθείᾳ
σ. 41 γὰρ ἡττᾶτο καθ' ὑπερβολὴν ὡς ἄλλος οὐδεὶς) ‖ τὰ πρὸς βρῶσιν καὶ
πόσιν συνεχῶς αὐτοῖς ἐχορήγει διά τινων τῶν αὐτοῦ φοιτητῶν. Οὐ πολλαὶ μεταξὺ παρῆλθον ἡμέραι, καὶ τῆς φυλακῆς οἱ ἄνδρες ἐξελθόντες νυκτὸς φυγάδες ἐγένοντο. Τούτου μεθ' ἡμέραν ἐπὶ τὰς ἀκοὰς τοῦ ἡγεμόνος ἐλθόντος, ἔρευνα ἀνὰ τὴν κώμην πᾶσαν ὑπὸ τῶν αὐτοῦ γίνεται ὑπηρετῶν, καὶ τίς ὁ τοῦτο δράσας καὶ τὰ πρὸς φυγὴν τοῖς ἀνδράσιν εἰςενεγκὼν ἐξητάζετο διὰ πολλῶν· ἀπειλαί τε πᾶσιν ἐγίνοντο καὶ μάστιγες ἔστιν οἷς. Ἀλλ' ὡς οὐδέν τι τούτων εἰς γνῶσιν ἧκεν αὐτῷ, καίτοι ἐπὶ πολὺ ποιουμένῳ τὴν ἔρευναν, Ἀγαρηνός τις τὸ γένος ἕλκων ἐκ τῶν Ἀλβανῶν καὶ ἐν τῇ κώμῃ ταύτῃ οἰκῶν, πολὺ πρὸς τὸν ἱερὸν τοῦτον ἄνδρα ἐκ πολλοῦ τρέφων τὸ μῖσος ἐν ἑαυτῷ, ἅτε δὴ καὶ πολλὴν ὁρῶν τοὺς τὴν κώμην ταύτην οἰκοῦντας πρὸς αὐτὸν ἐπιδεικνυμένους αἰδῶ καὶ τιμὴν καὶ ἀεὶ τὰ παρ' αὐτοῦ λεγόμενα ἀόκνως ποιοῦντας, ὑπὸ πολλοῦ τοῦ φθόνου κινηθεὶς προςελθὼν τῷ ἡγεμόνι φησίν·

Εἰ τὸν παρὰ τῶν ἐγχωρίων τούτων διδάσκαλον καλούμενον κρατήσεις καὶ δεσμοῖς καὶ εἱρκτῇ παραδώσεις, τὸ παρὰ τῶν φυγάδων ἐκείνων ὀφειλόμενόν σοι, πᾶν ὅσον βούλει, αὐτίκα δοθήσεται. Οὗτος γάρ ἐστιν ὁ φυγαδεύσας αὐτοὺς, καὶ εἰ μόνον ἐν πείρᾳ τούτων γενή-
σ. 42 σεται, ‖ πάντες ὑπὲρ αὐτοῦ θανεῖν μᾶλλον αἱροῦνται, ἢ μικράν τινα
τιμωρίαν αὐτὸν ἐνεγκεῖν· ὡς γὰρ προφήτην αὐτὸν ἔχουσι, καὶ λόγων οὐδεὶς αὐτοῦ εἰκῇ καὶ μάτην ἐκπίπτει τῶν πρὸς αὐτούς· διὸ μηδόλως

[1] εἱρκτῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

βραδύνας ὡς τάχος ποίει τὰ παρ' ἐμοῦ σοι ὑποτιθέμενα, καὶ οὐδὲν ἐμπόδιόν σοι γενήσεται τοῦ ποθουμένου τυχεῖν.

Ταῦτα τοῦ καταράτου ἐκείνου εἰπόντος, τοὺς παρεστῶτας αὐτῷ ὑπηρέτας ὁ ἡγεμὼν αὐτίκα προσκαλεσάμενος, Ὅσον τάχος πρὸς αὐτούς φησιν [1] ἀπελθόντες, τὸν λεγόμενον παρὰ τῶν ἐνταῦθα ἐγχωρίων διδάσκαλον λαβόντες, ἀγαγεῖν ὧδε [2] σπεύσατε. Ἀπελθόντες τοίνυν καὶ εὑρόντες αὐτὸν ἐν τῇ οἰκίᾳ ἐν ᾗ κατέμενε, λαβόντες πρὸς τὸν πέμψαντα αὐτοὺς ἤγαγον. Ὁ δὲ μηδὲν πρὸς αὐτὸν εἰπὼν τῇ εἱρκτῇ προστάττει τοῦτον ἐναπορρίψαι καὶ ἀσφαλῶς τηρεῖν· ὃ δὴ παρὰ χρῆμα εἰς τέλος ἤγαγον. Καὶ ἦν ἐν τῇ εἱρκτῇ ὁ μακάριος, οὐδὲ δι' ἣν αἰτίαν εἴη πεπονθὼς τοῦτο εἰδώς, ἀλλ' εὐχαρίστους ἦν νύκτωρ καὶ μεθ' ἡμέραι τῷ θεῷ προσφέρων φωνάς.

Ὡς δὲ δῆλον ἀνὰ τὴν κώμην πᾶσαν ἐγένετο τὸ πραχθέν, πάντες ἐν ἀθυμίᾳ ἦσαν πολλῇ, ἄνδρες τε ὁμοῦ καὶ γυναῖκες μετὰ τῶν παίδων, καὶ πολὺς ἦν ὁ θόρυβος περὶ αὐτοῦ, τὸν σφῶν αὐτῶν πατέρα καὶ διδάσκαλον ‖ ἐπὶ στόματος πάντων ἐχόντων, καὶ εἰ μὴ παρὰ τῶν σ. 43
ἐν τῇ κώμῃ προὐχόντων οἰκονομία τις[3] ἐγεγόνει περὶ τὰ πράγματα, ἐπὶ μεῖζον ἂν προὐχώρησε τὸ κακόν. Ἑτοίμως γὰρ ἅπαντες εἶχον λιθόλευστον τὸν ἡγεμόνα ποιῆσαι καὶ φόνου πικροῦ παρανάλωμα. Ἐγένετο δὲ ταῦτα μικρῷ πρόσθεν τῆς ἑορτῆς τῶν [4] τοῦ σωτῆρος ἡμῶν γενεθλίων· καὶ ἦν ἔτι κατ' αὐτὴν τὴν σεβασμίαν ἡμέραν ἐν τῇ εἱρκτῇ. Μὴ δυνάμενοι δ' ἄλλως οἱ κατὰ τὴν κώμην πρωτεύοντες ποιῆσαι, ἵνα μὴ τὸ κακόν, ὡς ἔφημεν, ἐπὶ μεῖζον ἀρθῇ, μόλις αὐτῷ συνεφώνησαν τριακοσίους ἀργυροῦς ὑπὲρ τῶν φυγάδων καταβαλεῖν καὶ τοῦτον τῆς εἱρκτῆς ἀπαλλάξαι. Οὗ γενομένου, ἀπήλλακτο μέν, ᾐτεῖτο δὲ τὸν συμπεφωνημένον αὐτῷ περὶ τοῦ φροντιστηρίου μισθὸν παρ' αὐτῶν λαβεῖν, καὶ ὅπου περ ἂν βούλοιτο ἀπελθεῖν. Οὗτοι δὲ πρὸς τὴν τοιαύτην αἴτησιν ἀπαναινόμενοι, διὰ τὸ ὑπὲρ αὐτοῦ τοὺς τριακοσίους καταβαλεῖν ἀργυροῦς, σκανδαλισθεὶς ὡς κατ' οὐδὲν ὑπαίτιος ὤν, εἰς Μεσολόγκιον ἐποιήσατο τὴν μετάβασιν, κἀκεῖ [5] διατρίβων ἦν μετὰ τῶν περὶ αὐτὸν φοιτητῶν.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ κατὰ τὴν Κρήτην ἤρξατο πόλεμος,

[1] φησιν κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος φησίν [2] ὧδε κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ὧδε [3] τίς [4] τὴν [5] κἀκεῖ

σ. 44 καὶ πολλή τις ἦν κατὰ θάλατταν ἡ ταραχή, οἷα || φιλεῖ κατὰ τοὺς τοιούτους πολέμους γίγνεσθαι, πολὺν δὲ καὶ οἱ τὰ παράλια οἰκοῦντες εἶχον τὸν φόβον. Διὸ καὶ ὕποπτον πάνυ τὴν τῆς Αἰτωλίας παραλίαν εἶναι οἰηθείς, εἰς Καρπενήσιον διέγνωκεν ἀνελθεῖν, προτρεπόμενον ἔχων ἐπὶ τούτῳ αὐτὸν καὶ Ἰάκωβόν τινα ἱερομόναχον, ἐκεῖθεν τὸ γένος ἕλκοντα, προεντυχόντα αὐτῷ ἐκεῖσέ ποτε γενομένῳ καὶ παιδείας ἕνεκεν ἐπὶ τὸ Ἀνατωλικὸν κατελθόντα, ὃν καὶ ἐπισκοπικῆς ἀξίας[1] μετὰ ταῦτα τυχεῖν ὁ λόγος ἐδήλωσε μὲν καὶ πρότερον, δηλώσει δὲ καὶ προϊὼν ἀκριβέστερον.

Ἀνελθὼν οὖν οὐ τῆς τυχούσης ἠξιώθη παρὰ τῶν τὴν κωμόπολιν ταύτην οἰκούντων εὐνοίας. Ἦσαν γάρ, εἰ καὶ πρὸς πᾶσαν παιδείαν[2] ἀνοικείως ἔχοντες, εὐλαβῶς μέντοι πρὸς τοὺς τοιούτους τῶν ἀνδρῶν διακείμενοι καὶ λόγῳ τῷ παρ' αὐτῶν πειθόμενοι. Οὓς οὕτως ἔχοντας ὁ θαυμάσιος οὗτος ἰδὼν καὶ πεῖραν δοὺς καὶ λαβὼν περὶ τοῦ σεβασμίου ναοῦ τοῦ ἐπ' ὀνόματι τῆς ζωαρχικῆς τριάδος τοῦ ἑνὸς τῶν ὅλων θεοῦ τιμωμένου πρὸ πάντων ἤρξατο ποιεῖσθαι τὴν διάσκεψιν. Ἦν γὰρ ὁ ναὸς οὗτος ἐν μέσῃ τῇ κωμοπόλει οὐ μόνον ἐν μικρῷ τινι χωρίῳ περιγραφόμενος, ἀλλὰ καὶ σχήματος καὶ κάλλους οὐδ' ὁπωςοῦν μετέχων ἱερῷ προςηκόντων ναῷ. Εἶπεν ἄν τις τοῦτον ἰδὼν οὐδὲ οἰκίᾳ
σ. 45 τινὶ τῶν ἰδιωτικῶν καὶ πάνυ ἀδόξων ἀνδρῶν || ἐοικότα. Ἐν τούτῳ κατεβλήθη αὐτῷ ἅπασα ἡ φροντίς, ὥςτε εἰς μεῖζον αὐτὸν μέγεθος ἐκτεῖναι κατά τε μῆκος καὶ πλάτος καὶ βάθος καὶ περικαλλῆ τινα καὶ ὡραῖον αὐτὸν ἀποφῆναι καὶ οἷον ἄλλον ἐπὶ γῆς οὐρανὸν παντοίοις ὡραϊσμένον καλοῖς, ὡς ἐκεῖνον τοῖς ἄστρασιν, ἀποδεῖξαι. Καὶ[3] ἤρξατο μὲν τοῦ ἔργου μάλα προθύμως, οὐκ εἰς τέλος δὲ ἤνεγκεν αὐτὸ τὸ προςῆκον, εἰ καὶ ὅμοιος ἦν οὐδὲν ἔχοντι τῶν πρὸς τὸν τούτου ἀπαρτισμόν, ἀλλ' ἡ πάντων προνοητικὴ τριὰς ὁ θεός, ἡ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσα, ῥᾳδίαν πάνυ τὴν πρὸς τὸ θεοφιλὲς τοῦτο ἔργον παρέσχεν αὐτῷ τὴν ἐγχείρησιν. Καὶ τοῖς[4] πρὸς θεωρίαν αὐτοῦ συνεχῶς παραγενομένοις τῶν φίλων ὀργάνοις χρησάμενος εἶχε πᾶν ὅσον ἦν ἱκανὸν εἰς ἀνάλωσιν τῆς τούτου οἰκοδομῆς· καὶ πολλοῖς μὲν

[1] ἐπισκοπῆς. Ἀλλὰ νεωτέρα χεὶρ δι' ἄλλου μέλανος ἔθηκε γραμμὴν ἐπὶ τῆς λέξεως, πάντως χάριν διορθώσεως αὐτῆς εἰς ἐπισκοπικῆς ἐν τῇ ᾤᾳ, τοῦθ' ὅπερ ἠμελήθη. [2] παιδείαν προςτεθειμένον ἐν τῇ ᾤᾳ [3] καὶ οὐκ τοῦ οὐκ διαγραφέντος εἶτα ἄλλῃ χειρὶ [4] τῆς

Ε.Υ.Δ της ε.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς πόνοις, πολλοῖς δὲ τοῖς ἱδρῶσι καθ' ἑκάστην περιρρεόμενος, ἀνί-
στησιν αὐτὸν ἀπὸ τοῦ μικροπρεποῦς ἐκείνου καὶ πάντῃ ταπεινοῦ σχή-
ματος εἰς ὃ νῦν παρὰ πάντων ὁρᾶται. Καὶ ὡς ὁ πολὺς ἐν θεολογίᾳ
Γρηγόριος ἐν Κωνσταντινουπόλει τὴν Ἁγίαν Ἀναστασίαν ἐπήξατο,
ἐκ πάνυ μικρᾶς ἐπὶ μεῖζον ἀρθεῖσαν καὶ δι' αὐτὸ τοῦτο οὐχ ἧττον ἢ
διὰ τὸν ὀρθὸν τῆς πίστεως λόγον οὕτως ὀνομασθεῖσαν, || οὕτω καὶ οὗ- σ. 46
τος τουτονὶ τὸν τῆς ἁγίας καὶ βασιλικωτάτης Τριάδος ναόν. Οὐ τοῦ-
τον δὲ μόνον εἰς τέλος ἤγαγεν, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, ἀλλὰ
καὶ οἴκους περὶ αὐτὸν ἐδείματο καὶ φροντιστήριον εἰς καθηγητοῦ καὶ
φοιτητῶν διατριβὴν ἐπιτηδείως ἔχον. Ἔνθεν [1] τοι καὶ πολλοὶ πανταχόθεν συνέρρεον αὐτῷ φοιτηταί, τινὲς μὲν καὶ τὰ πρὸς δαπάνην ἔχον-
τες, τινὲς δὲ καὶ ταύτης ὅλως στερούμενοι, εἰ καὶ πολλὴν περὶ τοὺς
λόγους εἶχον τὴν ἔφεσιν. Οὓς καὶ μετὰ προθυμίας πάσης δεχόμενος
καὶ προτροπαῖς καὶ ὑποθήκαις πρὸς αὐτὸν χρώμενος τῷ λογικῷ καὶ
τὴν ψυχὴν μᾶλλον ἢ τὸ σῶμα στηρίζοντι ἄρτῳ διέτρεφεν, οὓς δὲ καὶ
ἐνδείᾳ τῶν ἀναγκαίων πιεζομένους ἑώρα οὐ μόνον ἀμισθὶ τῶν μαθη-
μάτων ἀπολαύειν παρεῖχεν (οὐ γὰρ ἠνέσχετο λαβεῖν ποτε [2] παρά τι-
νος), ἀλλὰ καὶ τούτων αὐτὸς ἐγίνετο χορηγός, καὶ ἔτρεφέ τε σωματι-
κῶς καὶ τῆς ἄλλης πάσης ἠξίου ἐπιμελείας. Ἦσαν δὲ τηνικαῦτα
αὐτῷ φοιτηταὶ τῶν ἄλλων πάντων ὑπερέχοντες Γρηγόριος Μάνεσις ὁ
ἐκ τοῦ Ἀνατωλικοῦ, περὶ οὗ καὶ ἀνωτέρω ἡμῖν εἴρηται, γνησιώτερός
τε καὶ οἰκειότερος καὶ μᾶλλον ὡς πνευματικὸς υἱὸς αὐτοῦ γνωριζόμε-
νος· μεθ' ὃν Ἀναστάσιός τις, ποιμένος τινὸς ἐκ τῶν καλουμένων Βλά-
χων υἱός, οὐ Γρηγορίου || μόνον τοῦ κατὰ χρόνον πρωτεύοντος, ἀλλὰ σ. 47
καὶ πάντων τῶν ἄλλων εὐφυέστερος, ὃν καὶ Παντοδύναμον ὁ καθη-
γητὴς ἐκάλει διὰ τὸ πάντα ῥᾴδια εἶναι λέγειν αὐτῷ δοκεῖν. Τούτου
καὶ ἕτερός τις ἦν τῷ γένει μόνον, ἀλλ' οὐ καὶ τῇ εὐφυΐᾳ ἐφάμιλλος,
Θεοφάνης τοὔνομα, ὅστις καὶ νῦν εἰσέτι τῷ βίῳ περίεστιν, ἀλλ' οὐκ ἦν
ἐκ τῶν πρώτως αὐτῷ φοιτησάντων. Τῆς πρώτης δέ γε τάξεως ἦσαν
μετὰ Γρηγορίου καὶ Ἀναστασίου Σωφρόνιός τις Ἀκαρνὰν ἀπὸ χωρίου
Δραγαμέστου καλουμένου, οὗ καὶ ἀνωτέρω που ἐμνημονεύσαμεν, βραχύ
τι κατ' εὐφυΐαν τοῦ Ἀναστασίου ἐλαττούμενος, καὶ Δαμασκηνός τις
εὐνοῦχος, ὅστις καὶ Ἀθήνησιν [3] ὕστερον ἐτελεύτησεν, ἔκ τινος χωρίου
τῶν ἐν τῷ καλουμένῳ Βάλτῳ ὁρμώμενος, Κάμινος λεγομένου. Προέ-

[1] ἔνθέν [2] ποτὲ [3] ἀθήνησιν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στη δὲ οὗτος ἐπὶ βραχὺ καὶ τῆς σεβασμίας μονῆς Τετάρνης. Μετὰ τούτων δὲ καὶ Ἰωσήφ τις ἔκ τινος τῶν αἰτωλικῶν χωρίων τὸ γένος Ἀρβανιτάκης, ὕστερον δὲ Σκροῦμος περιᾳδόμενος, διὰ τὸ τῆς γνώμης δυςάρεστον ὑπό τινος τῶν εὐτραπέλων οὕτως ὀνομασθείς, ὅςτις καὶ αὐτὸς ἔτι τῷ βίῳ περίεστι γηραιὸς πάνυ. Καὶ πρὸς τούτοις Ἰάκωβος ὁ ὕστερον ἐπισκοπήσας, ὥς που καὶ ἅπαξ καὶ δὶς ἐν τοῖς ἄνω εἰρήκαμεν, φιλομαθὴς μὲν ὡς οὐδεὶς ἕτερος, ἀφυὴς δὲ πολλῷ τῷ μέ-
σ. 48 τρῳ. || Σὺν τούτοις δὲ καὶ ἑτέροις ἔτι πλείοσιν, οὓς περιττὸν ἡμῖν ἐνταυθοῖ καταλέγειν, καὶ Νικόλαος ἦν ὁ ἐκ Βελισδονίου, χωρίου τινὸς τῶν Ἀγράφων, ἐν προθύροις ἔτι στρεφόμενος τῆς τέχνης τῶν Ἀσκληπιαδῶν, εἰ καὶ ὕστερον ἐπὶ τοσοῦτον κατ' αὐτὴν ἐθαυμάσθη καὶ ἐπὶ μέγα ἤρθη τῆς φήμης, ὥςτε καὶ βασιλικὸς ἀρχιατρὸς ἀνακηρυχθῆναι. Ἦν δὲ κατὰ πάντα ὁ ἀνὴρ οὗτος εὐφυὴς καὶ ἀγχίνους εἴπερ τις ἄλλος, καὶ παρ' αὐτῷ μὲν τὰ τῶν Ἑλλήνων ἐπαιδεύετο, παρὰ δέ τινι τῶν Ἀγαρηνῶν τὰ τῶν Ἀράβων, καὶ τὴν ἰατρικὴν μετήρχετο κατὰ δύναμιν. Ηὐδοκίμει δὲ πρὸς οὓς ἂν ἀφίκοιτο ἐπὶ θεραπείᾳ. Τούτῳ καὶ οἱ ἀνωτέρω πάντες οὓς ἔφημεν ὁμιλοῦντες εἴς τινα μετρίαν γνῶσιν καὶ πεῖραν ἧκον τῶν κατὰ τὴν ἰατρικήν, καὶ μάλιστά γε αὐτῶν ὁ Γρηγόριος καὶ Ἰάκωβος, καὶ τούτων ἔτι μᾶλλον Ἰωσὴφ ὁ Σκροῦμος. Παιδείας δὲ τοσοῦτον Εὐγενίῳ φοιτῶντες μετέλαβον, ὅσον ἀπὸ τῆς γραμματικῆς καὶ μόνης γνωρίζεσθαι ὅπῃ περ ἂν ἀπελθόντες τύχωσιν· εἶχον γὰρ καὶ ταύτης καὶ ποιητικῆς ἔτι τέχνης ἕξιν μετρίαν· περαιτέρω δὲ οὐκ ἠβουλήθησαν προελθεῖν, ὥστε καὶ λογικῆς πραγματείας ἅψασθαι καὶ τῶν μετ' αὐτῆς καθ' ἑξῆς [1] ἐπιστημῶν· ἀλλ' ἐφ' ἑτέρους
σ. 49 καθηγητὰς ἐτρέποντο, τοῦ τὰ τῆς παιδείας αὐτοῖς || καταβαλόντος σπέρματα ὀλιγωροῦντες, καὶ ἀεὶ σκανδάλου τούτῳ ἐγίνοντο πρόξενοι. Ἀναστάσιος δὲ ὁ καὶ Παντοδύναμος παρ' αὐτοῦ δι' ἣν ἔφημεν αἰτίαν κληθεὶς καὶ ἐν Καρπενησίῳ ἔτι ὢν σχολεῖον ἰδίᾳ συνεστήσατο, καὶ ἔτι μᾶλλον λυπῆσαι θέλων αὐτόν, τοὺς περὶ αὐτὸν φοιτητὰς λόγοις πιθανοῖς ὑποκλέπτων πρὸς ἑαυτὸν συνεκάλει. Ταύτης τῆς μοίρας Ἰάκωβος ἐγένετο καὶ Ἰωσὴφ καὶ Νικόλαος ὁ τὴν ἰατρικὴν ἀσκῶν· οἳ καὶ συνωμοσίαν (ὡς ἄν τις οὕτω φαίη) ποιήσαντες κατὰ τοῦ εὐεργέτου τὴν πτέρναν ἐκίνησαν καὶ πολλῶν αἴτιοι σκανδάλων αὐτῷ ἐγένοντο, κατὰ τοῦ Γρηγορίου μᾶλλον τοῦ σὺν αὐτῷ μείναντος καὶ μη-

[1] καθεξῆς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δέποτε ἀπ' αὐτοῦ χωρισθέντος παντοίους δόλους συρράπτοντες. Ἀλλὰ καὶ οὗτος οὐκ ἐπαύετο τοῖς αὐτοῖς τούτους ἀμείβεσθαι κατὰ δύναμιν, ὡς εἰς πρὸς πολλούς. Διὰ ταῦτα τοίνυν καὶ τὸν συνωμότην αὐτῶν Ἰάκωβον προετρέψαντο τῆς ἐπισκοπικῆς ἐπιλαβέσθαι ἀρχῆς, καίτοι ἑτέρου ὄντος τοῦ ταύτην ἰθύνοντος, καὶ παραιτησαμένου, ὡς ἂν δι' αὐτοῦ πᾶν ὅ τι βούλοιντο κατὰ τοῦ καθηγητοῦ σκευωρεῖν καὶ εἰς ἔργον ἄγειν ἐκ προχείρου δύναιντο, ὃ καὶ γέγονε συνδρομῇ τε τῇ παρ' αὐτῶν καὶ ἑτέρων αὐτοῖς ὁμοφρόνων τῶν ἐκ τῆς κωμοπόλεως. Εἶχόν [1] τε τὸ || βουλόμενον, καὶ τῷ μαθητῇ καὶ ἐπισκόπῳ τὸν καθηγητὴν ἐν σ. 50 πᾶσιν ὑποκύπτειν τοῖς παρ' αὐτοῦ καὶ λεγομένοις καὶ πραττομένοις ἠνάγκαζον. Οἷς καὶ οὗτος χαριζόμενος, εἰ καὶ τῇ τῆς ἀρχιερατικῆς ἀξίας ὑπεροχῇ τοῦ καθηγητοῦ μάλα διέφερεν, ἀλλ' οὐ καὶ τῆς πολιᾶς καὶ τῆς ἄλλης ἧς εἶχεν ἀρετῆς ᾐδεῖτο καὶ τῆς προτέρας πρὸς αὐτὸν σχέσεως, ὡς ἀνδραπόδῳ δὲ μᾶλλον χρῆσθαι διενοεῖτο καὶ οὐδενὸς λόγου ἀξίῳ.

Ταῦτα ὁρῶν ὁ μακάριος οὗτος καὶ μὴ φορητὰ εἶναι λογιζόμενος ὡς ἀταξίας γέμοντα καὶ ἀκοσμίας πολλῆς καὶ μᾶλλον ὅτι ἐκ τῶν οἰκείων καὶ ἀφ' ἑστίας, ἡ λέγεται, τὰ βέλη, δεῖν ἔγνω τῇ τῆς μεγάλης ἐκκλησίας βοηθείᾳ καταφυγεῖν καὶ σταυροπήγιον πατριαρχικὸν τὸν σεβάσμιον ἐκεῖνον ποιῆσαι ναόν· καί, ἵνα τὸ πᾶν συνελὼν εἴπω, μικροῦ καὶ πεποίηκεν, εἰ μὴ παλινῳδίαν ὁ μαθητὴς αὐτοῦ ᾖσεν ἐπίσκοπος. Οὗτος γὰρ πρῶτος πάντων μεταμεληθεὶς συγγνώμην ᾔτει τῶν πρὸς αὐτὸν γενομένων, καὶ οὐ μόνον οὐκ ἀπέτυχε ταύτης, ἀλλὰ καὶ πολλῆς ἔκτοτε καὶ μέχρι παντὸς ἀπήλαυε παρ' αὐτοῦ τῆς φιλίας καὶ μαθητοῦ μᾶλλον ἢ ἐπισκόπου τάξιν ἐδείκνυε πρὸς αὐτόν. Τοῦτον ὁ Ἰωσὴφ ἰδὼν οὕτως ἐκ μετανοίας διορθωθέντα, μετὰ σπουδῆς προσέρχεται || τῷ καθηγητῇ, καί, ἱκέτης αὐτοῦ γενόμενος, θεραπεύει πᾶν σ. 51 τὸ ἀπὸ τῆς ἀποστασίας γενόμενον αὐτῷ κακόν, καὶ χάριτας ἣν αὐτῷ ἔκτοτε καὶ μέχρι τοῦ νῦν διὰ παντὸς τοῦ βίου ὁμολογῶν. Καὶ οὕτω μὲν οἱ δύο οὗτοι συμφοιτηταὶ μετὰ τοῦ καθηγητοῦ ἐποιήσαντο τὰς σπονδάς. Ἡ δὲ ἑτέρα τῆς τούτων τετράδος δυάς, Ἀναστάσιός τέ φημι [2] καὶ Νικόλαος ὁ γνωριζόμενος ἀπὸ τῆς ἰατρικῆς, ὁ μὲν Ἀθήναζε πρῶτον ἀφίκετο παρὰ Ἰεζεκιὴλ τῷ Στεφάκῃ καλουμένῳ καὶ ἡγουμένῳ μονῆς τινος τῶν ἐκεῖ, φοιτητῇ χρηματίσαντι Ἀγγέλου τοῦ

[1] εἶχον [2] φημὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Μπενιζέλου τοῦ πρώτου τῶν τοῦ Κορυδαλλέως ὁμιλητῶν καὶ φήμην
ἔχοντι κατὰ τὰς ἐπιστήμας πολλὴν, λογικῆς παιδείας ἐφιέμενος καὶ
ἀραβικῶν ἔτι γραμμάτων καὶ ἰατρικῆς. Καὶ ἦν ἐκεῖ διατρίβων οὐκ
ἐπὶ χρόνον συχνόν. Εἶτα εἰς Λάρισαν [1] ἀνακάμψας τῆς Θετταλίας,
τῶν ἀραβικῶν αὖθις εἴχετο λόγων καὶ τοῖς κατὰ τὴν ἰστρικὴν βι-
βλίοις μᾶλλον ἐσχόλαζεν. Ὁ δὲ Παντοδύναμος Ἀναστάσιος πρῶτον
μὲν εἰς Τούρναβον κώμην μεγίστην τῆς Θετταλίας παραγενόμενος,
ἐσχολάρχει ἐπὶ χρόνους τινάς· μετέπειτα δὲ τὴν εὐθὺ τῆς Κωνσταν-
τίνου ἐβάδισε, καὶ εἰς τὸ πατριαρχεῖον ἐλθὼν καὶ Εὐγενίου μαθητὴς
σ. 52 εἶναι λέγων, τὰ περὶ || Εὐγενίου πρὸς τοῦ πατριάρχου καὶ τῶν κλη-
ρικῶν ἐρωτώμενος ἐξειπεῖν καὶ γράμματα παρ' αὐτοῦ αἰτούμενος συ-
στατικὰ, ὡς οὐδὲν τούτων εἶχεν ἐμφανίζειν αὐτοῖς, οὐδὲ μιᾶς ἠξιοῦτο
παρ' αὐτῶν τῆς ὑποδοχῆς, ἀλλὰ καὶ ἀπεπέμπετο, καὶ ἐν ὑποψίᾳ
παρὰ πᾶσιν ἦν, ὅτι οὐκ ἦν αὐτῷ φίλα τὰ πρὸς τὸν καθηγητήν. Ὅθεν
μὴ δυνάμενος ἄλλως ποιῆσαι, κακῶς ἐκ πρώτης ἀφετηρίας ἀπαλ-
λάξας κατὰ [2] τὴν ἐς Κωνσταντίνου ἐπιδημίαν ἐπανακάμπτει πάλιν
διὰ τῆς εἰς τὴν Ἑλλάδα φερούσης [3] πρὸς τὸν καθηγητὴν, καὶ ἱκέτης
αὐτῷ προσπίπτει ἐλεεινὸς, τί μὲν οὐ λέγων, τί δὲ οὐ ποιῶν τῶν πρὸς
οἶκτον ἑλκόντων τοῦτον τὸν ἑαυτοῦ. Καὶ δὴ πειθόμενον εἶχε τοῖς παρ'
αὐτοῦ λεγομένοις τὸν συμπαθῆ καθ' ὑπερβολὴν, ὥστε καὶ δακρύων
ἐμπλῆσαι τούτου τοὺς ὀφθαλμούς. Ἐφίλει γὰρ αὐτὸν ὑπὲρ πάντας
τοὺς φοιτητὰς οὐ δι' ἄλλο τι μᾶλλον ἢ δι' ἣν εἶχεν εὐφυίαν καὶ εὐ-
γλωττίαν, ὁπηνίκα μετὰ τῶν ἄλλων καὶ οὗτος ἦν τούτου ἀκροατὴς,
καὶ χρηστὰς εἶχεν ἐπ' αὐτῷ τὰς ἐλπίδας ὡς ὑπερέξει πάντων τοῦ
χρόνου προϊόντος κατὰ παιδείαν καὶ ἀρετὴν, οὐκ εἰδὼς ὅλως ὅτι ἐπὶ
τοσοῦτον ἀναιδείας καὶ ἀνταρσίας προβήσεται τῆς πρὸς αὐτόν. Τού-
των δὲ καὶ τῶν τοιούτων ἀναμνήσας αὐτὸν, καὶ ἐλέγχοις τοῖς προσή-
σ. 53 κουσιν, οἷόν τισι || παιωνίοις φαρμάκοις, τὴν αὐτοῦ γνώμην καταμα-
λάξας, οὐ μόνον συγγνώμης αὐτῷ μετέδωκεν, ἀλλὰ καὶ γράμμασιν
ἐφοδιάζει τοῦτον συστατικοῖς πρὸς τὴν βασιλεύουσαν αὖθις ἐπανελ-
θεῖν, ὃ δὴ καὶ πεποίηκε. Καὶ ἦν παρὰ τῶν ἐν αὐτῇ πάντων ἀποδε-
χόμενος, ὥστε καὶ ἐπ' ἐκκλησίας παρὰ τοῦ πατριάρχου καὶ τῶν περὶ
αὐτὸν [4] λογίων ἐπιτραπῆναι συνεχῶς ὁμιλεῖν, καὶ ἦν ὑπὸ πάντων θαυ-
μαζόμενος ἐπί τε εὐφυΐᾳ καὶ ἐπὶ τῇ τῆς γλώττης, ἣν εἶχεν ἐκ φύσεως

[1] λάρισσαν [2] κατὰ τὰ [3] φέρουσαν [4] αὐτῶν

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μᾶλλον ἢ μαθήσεως, ὡς ἔφημεν, προφορᾷ. Καὶ δὴ καὶ σχολαρχεῖν
αὐτὸν ὁ πατριάρχης ἔταξε τοῦ πατριαρχείου ἐντὸς καὶ οὐδεὶς ἐν τῷ
τότε κατά τε γραμματικὴν καὶ ποιητικὴν παιδείαν ἐν Κωνσταντινου-
πόλει ἐνομίζετο τούτου κρείττων, ὡς καὶ πρὸς Ἰωάννου τοῦ Καρυο-
φύλλου τοῦ τῆς μεγάλης ἐκκλησίας σκευοφύλακος ὄντος ἐμαρτυρεῖτο,
καίτοι οὐκ εἰωθότος οὐ μόνον τοὺς κατ' αὐτόν, ἀλλὰ καὶ τοὺς ἐπὶ τῇ
ἄλλῃ παιδείᾳ διαφέροντας οὕτως εὐχερῶς θαυμάζειν καὶ ἐπαινεῖν. Καὶ
οὕτω μὲν εὔδρομα ἦν αὐτῷ πάντα τὰ ἐς τὴν Κωνσταντίνου διατρι-
βήν· μετὰ τινας δὲ χρόνους καὶ εἰς Ἀδριανούπολιν παρὰ τοῦ τῆς
κατ' ἐκείνην[1] ἐκκλησίας προέδρου Νεοφύτου μεταπεμφθείς, σχολῆς τε
ἦν προστατεύων καὶ ἐπ' ἐκκλησίας ὁμιλῶν. Ἀνῆλθε δὲ καὶ Νικόλαος
ἀπὸ ‖ Λαρίσης[2] εἰς Κωνσταντινούπολιν ὁ πρώην κατ' Εὐγενίου τούτῳ σ. 54
ὁμοφρονῶν, καὶ εὐδοκίμει ἐν τοῖς κατὰ τὴν ἰατρικήν. Διαβάντος τε
μετὰ ταῦτα χρόνου συχνοῦ, τῇ τούτου προτροπῇ τε καὶ συνδρομῇ
τῷ τῆς ἀρχιερωσύνης ἀξιώματι ὁ Ἀναστάσιος κοσμηθείς, τῆς Θεσ-
σαλονικέων ἐκκλησίας χρηματίζει ποιμήν· ἀλλ' οὐκ ἔφθασεν ἐπὶ τού-
του ἐλθεῖν, καὶ οἱ Θεσσαλονικεῖς ἄλλον ἀντ' αὐτοῦ καθιστῶσι ποιμένα
τὸν ἑαυτῶν· οὐ γὰρ μετὰ τῆς γνώμης ἐγένετο τοῦ κλήρου τῆς ἐκκλη-
σίας ταύτης παντός. Ὁ δὲ ἐν Ἀδριανουπόλει[3] τέλει τῆς αὐτοῦ ἐχρή-
σατο βιοτῆς. Ἀλλὰ ταῦτα μὲν μετὰ πολὺν ἐγένετο χρόνον. Νικό-
λαος δὲ ὁ ἐπὶ μέγα φήμης τῆς κατὰ τὴν ἰατρικὴν ἐπιστήμην ἀρθείς,
ὀψέποτε καὶ αὐτὸς μεταμεληθεὶς ἐφ' οἷς πρὸς Εὐγένιον ἐπλημμέλησε
τὸν καθηγητήν, συγγνώμην ἦλθε παρ' αὐτοῦ πολλάκις αἰτῶν, καὶ
ταύτης τυχών, φιλίᾳ τῇ πρὸς αὐτὸν τοῦ λοιποῦ ἐδεσμεῖτο πολλῇ, καὶ
δι' εὐλαβείας ὅ τι πλείστης εἶχεν αὐτόν.

Ὁ δὲ πολλοὺς ἔτι ἐν Καρπενησίῳ διατρίψας χρόνους, ὡς γενέσθαι
τούτους πλείω τῶν εἴκοσιν, ἠγαπᾶτο μὲν καὶ παρὰ τῶν χριστωνύ-
μων καθ' ὑπερβολήν, ἀλλὰ καὶ ὑπὸ τῶν ἔξω τῆς καθ' ἡμᾶς πίστεως
οὐχ ἧττον ἐθεραπεύετο, καὶ διὰ τιμῆς ἦν. Συνεχῶς τε τοὺς πρὸς αὐ-
τὸν ‖ φοιτῶντας ἐδίδασκε, καὶ ἐπ' ἐκκλησίας ὁμιλῶν δογματικοῖς τε σ. 55
καὶ ἠθικοῖς λόγοις οὐ τοὺς τὴν κωμόπολιν μόνον ἐκείνην οἰκοῦντας,
ἀλλὰ καὶ πάντας τοὺς ἐκ τῶν πέριξ χωρίων ἐν αὐτῇ κατὰ διαφόρους
χρόνους συρρέοντας εἰς γνῶσιν ἐχειραγώγει πᾶσαν καὶ ἀρετήν. Ἐπὶ
γῆρας δὲ βλέπων ἑαυτὸν ἀποκλίνοντα καὶ τὰς συνεχεῖς τῶν πρὸς αὐ-

[1] ἐκείνης [2] λαρίσσης [3] ἀνδριανουπόλει

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸν ἁπανταχόθεν ἐρχομένων ὁμιλίας βαρυνόμενος (ἐν μέσῃ γὰρ ἦν τῆς κωμοπόλεως ὅ τε ναὸς καὶ ἡ περὶ αὐτὸν οἰκία τῇ ἀγορᾷ) μεταβῆναι ταύτης ἐφ' ἑτέραν ἐζήτει καιρὸν, ἡσυχίας ἧς ἀεὶ ἐτύγχανεν ἐφιέμενος, εἰ δυνατὸν ἦν, ἐς κόρον κατατρυφῆσαι.

Καὶ δὴ ἐκ τῶν Ἀγράφων ἐκεῖσε κατὰ χρείαν ἐλθόντες[1] τινὲς ἀπὸ χωρίου τινὸς Βρανιανὰ καλουμένου (τοῦτο δ' ἐστὶν[2] ἡ ἐμὴ δυςτυχεστάτη πατρίς) ἐτύγχανον μὲν καὶ ἐκ πολλοῦ τοῦτον εἰδότες, ἡνίκα μᾶλλον ἐν Τριβάτῳ μετὰ τῶν ἀσκητικῶν ἐκείνων ὧν κατ' ἀρχὰς ἔφημεν ἦν συμβιοτεύων ἀνδρῶν, ἀλλὰ καὶ τηνικαῦτα οὐχ ἧττον διὰ μακροτέρας τῆς ὁμιλίας αὐτὸν ἐγίνωσκόν τε καὶ πεῖραν μᾶλλον ἔλαβον τῆς ἑαυτοῦ ἀρετῆς, καὶ οὕτω βαρυνόμενον τὴν ἐκεῖσε τοῦτον ἰδόντες ἀναστροφὴν, ἀποπειρῶνται τῆς τούτου γνώμης, εἰ βούλεται[3] τὸ
σ. 56 Καρπενήσιον καταλιπεῖν καὶ ἐπὶ τὸ διαλη||φθὲν μεταβῆναι χωρίον, καὶ πολλοῖς πρὸς τοῦτο τοῖς λόγοις αὐτὸν παρεκάλουν. Ὁ δὲ, εἰ καὶ ἵππος ἐς πεδίον ἦν, τὸ τοῦ λόγου, τῆς ἡσυχίας, ὡς ἔφθημεν εἰπόντες, διαφερόντως ἐρῶν, ἀλλὰ καὶ δυςχερείας τινὰς τὰς ἐκ τοῦ τόπου τούτους προὐβάλλετο, ἄλλα τε πολλὰ λέγων καὶ δὴ καὶ πυνθανόμενος πόθεν αὐτῷ καὶ τοῖς περὶ αὐτὸν δυνατὸν ἂν εἴη κεκτῆσθαι τὰς πρὸς τὸ ζῆν ἀφορμάς. Οἱ δὲ πολλὰς αὐτῷ περὶ τούτων ἐποιοῦντο τὰς ὑποσχέσεις, καίτοι πρὸς πάσας ἀνανεύων ἦν, τὸ εὐμετάβολον τῆς γνώμης τῶν ἀνθρώπων εἰδώς.

Κατένευσε μέντοι, καὶ τοῖς λόγοις εἶξε τοῖς παρ' αὐτῶν. Οἱ δὲ περιχαρεῖς γενόμενοι καὶ τὰ τῆς χρείας δι' ἣν εἰς Καρπενήσιον ἦλθον πληρώσαντες, ταῖς παρ' αὐτοῦ εὐχαῖς ἐφοδιασθέντες, ὑπέστρεψαν ἐν Βρανιανοῖς, καὶ πᾶσι τοῖς ἐγχωρίοις τὰ περὶ αὐτοῦ καταγγείλαντες πολλῆς αὐτοῖς εὐφροσύνης ἐγένοντο πρόξενοι, τοιοῦτον ἄνδρα τῆς ἑαυτῶν πατρίδος οἰκήτορα γενέσθαι παρ' ἐλπίδα μαθοῦσι. Καὶ δὴ προθύμως εὐτρεπίζειν αὐτῷ τὰ πρὸς οἴκησιν ἤρξαντο, μονύδριόν τι ἐπ' ὀνόματι τῆς ἁγίας ὁσιομάρτυρος τοῦ Χριστοῦ Παρασκευῆς οὐ μακρὰν που τοῦ χωρίου κείμενον, ἐπιτηδείως ἔχον εὑρόντες· Γοῦβα τῷ τόπῳ τὸ ὄνομα· ἣν καὶ Ἀνήλιον αὐτὸς ἐπιθέτως ὠνόμασε διὰ τὸ παλίνσκιον[4].

σ. 57 || Καιροῦ τοίνυν ἐπιτηδείου λαβόμενος, καταλείπει μὲν τὸ Καρπενήσιον, μεταβαίνει δὲ εἰς τὸ δηλωθὲν χωρίον, καὶ τῷ μονυδρίῳ

[1] ἐλθόντων [2] ἐστιν [3] βούληται [4] παλίσκιον

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της ττ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ἐγκατοικίζεται, πολλῆς δὲ τῆς παρὰ τῶν ἐγχωρίων ἐκείνων ἀνδρῶν δεξιώσεως τυχών, καὶ οὐ παρὰ τούτων μόνον, ἀλλὰ καὶ παρὰ πάντων ἁπλῶς εἰπεῖν τῶν ἐν τοῖς Ἀγράφοις οἰκούντων. Ὁρῶν δὲ τόν τε ναὸν ἀκαλλώπιστον ὄντα καὶ τὰς περὶ αὐτὸν οἰκίας οὐκ ἐπιτηδείως ἐχούσας πρὸς οἴκησιν τὴν ἑαυτοῦ, πρώτην ταύτην ποιεῖται φροντίδα τοῦ πάντα μετασκευάσαι καὶ μετακοσμῆσαι ἐπὶ τὸ βέλτιον· ὃ καὶ πεποίηκεν, ἐξ ἰδίων καὶ ταῦτα ἀναλωμάτων. Καὶ φοιτηταὶ πάλιν πάντοθεν πρὸς αὐτὸν συνέτρεχον· οἱ δὲ ἐγχώριοι πολλὴν αὐτῷ παρεῖχον τὴν αἰδῶ καὶ τιμήν, καὶ ᾗ δυνάμεως εἶχον τὰ παρ' ἑαυτῶν ἐχορήγουν. Ἀλλ' οὐκ ἠδύνατο κατὰ μόνας ζῆν ἢ μετὰ δύο καὶ τριῶν· πολλάκις γὰρ οἱ μετ' αὐτοῦ συνοικοῦντες καὶ τὸν δεκαδικὸν ὑπερηκόντιζον ἀριθμόν. Οἱ δὲ κατὰ θεωρίαν μόνον καὶ ψυχικὴν ὠφέλειαν πρὸς αὐτὸν ἐρχόμενοι πλῆθος ἦσαν οὐ ῥᾳδίως περιληπτὸν ἀριθμῷ· διὸ καὶ ἐν ἀμηχανίᾳ ἦν καὶ ἠπόρει καθ' ἑαυτὸν τὴν ἐκεῖσε ποιούμενος οἴκησιν, εἰ μὴ ἐν σπάνει τῶν πρὸς τὸ ζῆν ἀναγκαίων γένοιτο. Καὶ δὴ βουλὴν βουλεύεται μάλα καλὴν καὶ ψυχωφελῆ, ‖ ἣν καὶ πρὸς σ. 58
πολλοὺς τῶν φίλων κοινώσας ἄνδρας ἀρετῇ καὶ φρονήσει κεκοσμημένους εὗρεν αὐτοὺς συνδοκοῦντας. Ἦν δὲ ἡ βουλὴ δύο τῶν περὶ αὐτὸν ἱερομονάχων καὶ φοιτητῶν εἰς Κωνσταντινούπολιν πέμψαι μετὰ γραμμάτων πρὸς οὓς ἂν αὐτὸς δοκιμάσειε (πολλὴ γὰρ ἡ περὶ αὐτοῦ φήμη διέτρεχεν ἀνὰ πᾶσαν τὴν βασιλεύουσαν), ὥστε διὰ τῆς συνδρομῆς καὶ τῆς βοηθείας τούτων ἱκανὴν ἐλεημοσύνην συναγαγεῖν. Ὃ καὶ πεποίηκε, καὶ εἰς τὴν Κωνσταντίνου οἱ φοιτηταὶ ἀνελθόντες ὑπεδέχθησαν παρὰ τῶν πρὸς οὓς ἐπέμφθη τὰ γράμματα φιλοφρόνως καὶ ἱλαρῶς, καὶ συνδρομῆς πολλῆς ὡς εἰκὸς παρ' αὐτῶν τυχόντες συνήγαγον ἀριθμόν τινα χρημάτων, τοὺς ἑπτακοσίους ὑπερβαίνοντα ἀργυροῦς, καὶ ταῦτα τῇ αὐτοῦ αὖθις συμβουλῇ ἀνδρί τινι τῶν ἐκ τοῦ ἔχοντος αὐτὸν χωρίου Παναγιώτῃ τοὔνομα παραδόντες, πλουτοῦντι μὲν ἱκανῶς, ἐπιστατοῦντι δὲ τῇ τῶν βασιλικῶν διανομῇ κρεῶν, ὡς ἂν ἔχοι τὸ παρ' αὐτῶν γενόμενον κέρδος κατ' ἔτος ἀποστέλλειν τῷ μονυδρίῳ, καὶ τοὺς ἐν αὐτῷ διάγοντας τὰ πρὸς χρείαν ἔχειν τῶν ἀναγκαίων καὶ ὑπὲρ τῶν ἐλεούντων αὐτοὺς ἐν ταῖς ἱεραῖς εὔχεσθαι τελεταῖς καὶ μνήμης τῆς πρὸς θεὸν ἀξιοῦν τὰ γεγραμμέ‖να παρὰ τῶν σ.
ἀποστειλάντων [1] ὀνόματα.

[1] ἀποσταλέντων

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟΥ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τούτου γενομένου, κατῆλθον μὲν οἱ ῥηθέντες, τὰ προςτεταγμένα αὐτοῖς πάντα πληρώσαντες, ἐπέμπετο δὲ καὶ ἡ ἐλεημοσύνη κατ᾿ ἔτος ὑπὸ τοῦ ταύτην ἐν ταῖς χερσὶν ἔχοντος, καὶ μετ᾿ εἰρήνης διῆγον τὸν βίον αὐτός τε καὶ οἱ περὶ αὐτόν. Ἀνήλισκε δὲ τὰ πεμπόμενα εἴς τε καὶ ἄλλας χρείας, ἀλλὰ δὴ καὶ εἰς σκεύη ἐκκλησιαστικά, καὶ μάλιστα πρὸς τοὺς ἐνδείᾳ πιεζομένους. Τῶν δὲ πρὸς τὸ ζῆν ἀναγκαίων ηὐπόρει μέχρι τινὸς ἔκ τε τῆς παρὰ τῶν ἐγχωρίων γενομένης πρὸς αὐτὸν βοηθείας καὶ ἐξ ὧν εἶχεν ἔτι ἀπὸ Καρπενησίου ἐλθών.

Φοιτηταὶ δὲ αὐτῷ ἐν Βρανιανοῖς ἐγένοντο πολλοὶ μὲν καὶ ἄλλοι τῶν ἐκ τῆς ἱερᾶς τάξεως καὶ παῖδες ἐξ αὐτοῦ τοῦ χωρίου καὶ τῶν πέριξ ἀριθμοῦ κρείττονες. Πρῶτος δὲ πάντων ἦν Δαμασκηνός τις ἱερομόναχος Αἰτωλὸς Ἀγγελοκαστρίτης, εὐφυὴς ἱκανῶς καὶ φιλόπονος, ὄγδοον ἔτος σὺν αὐτῷ διατρίψας. Εἶτα Ἰωακεὶμ τις ἕτερος ἐκ τῶν περὶ Τρίκκην τῆς Θετταλίας χωρίων, ὅςτις καὶ νῦν εἰςέτι τῷ βίῳ περίεστιν, ἐν Ἰωαννίνοις διατρίβων καὶ πλείονα μὲν πάντων διατρί-
σ. 60 ψας σὺν αὐτῷ χρόνον, ἐλάττονα δὲ καρπωσά‖μενος τὴν ἐκ τῶν λόγων ὠφέλειαν νοὸς ἀμβλύτητι. Σὺν τούτοις δὲ καὶ Ἀρσένιός τις, τῇ ἡλικίᾳ τούτων νεώτερος, οὐ πολὺ τοῦ προςεχῶς ῥηθέντος κατὰ νοὸς ἀμβλύτητα διαφέρων. Ἐν ἑνὶ δὲ καὶ τῷ αὐτῷ καιρῷ συνῆσαν ἅπαντες οὗτοι, παιδευόμενοι παρ᾿ αὐτοῦ βίβλους ποιητικάς, Γεράσιμός τις Ἀκαρνὰν ἀπὸ Δραγαμέστου, Σάββας ἀπὸ Τριβάτου τῶν καὶ ἀνωτέρω ῥηθέντων χωρίων, Ἰωνᾶς, Ζαχαρίας καὶ Καλλίνικος ἐξ ἑνὸς πάντες χωρίου τῶν Ἀγράφων Καστανία προςαγορευομένου. Ὧν ὁ μὲν Καλλίνικος καὶ πατριάρχης μετὰ πολλοὺς χρόνους ὕστερον ἐχρημάτισε Κωνσταντινουπόλεως ἀπὸ τῆς κατὰ Προῦσαν ἐκκλησίας μετενεχθείς, ἧς πρότερον εἶχε τὴν προεδρίαν, καὶ τῆς πατριαρχικῆς καθέδρας προέστη ἔτη ἑκκαίδεκα, κἀκεῖ [1] τὸν βίον ἐξέλιπεν οὐ πρὸ πολλῶν ἐτῶν. Ὁ δὲ Ζαχαρίας Βιζύης [2] τῆς κατὰ Θρᾴκην ἐπίσκοπος κατέστη, καὶ νῦν ἔτι περίεστιν. Ὁ δὲ Δαμασκηνὸς ἐν Καρπενησίῳ παρ᾿ αὐτοῦ πεμφθεὶς τοῦ δηλωθέντος τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ναοῦ τὴν ἐφημερίαν ἐνεπιστεύθη, καὶ παίδων ἐν αὐτῷ σχολὴν συνεστήσατο τῇ τούτου προτροπῇ καὶ δαπάνῃ. Λοιμοῦ δὲ κατὰ τὰ ἐκεῖσε γενομένου χωρία πολλοῦ, ἀναχωρεῖ μὲν ἐκεῖθεν ἔρχεται δὲ πρὸς τὸν καθηγητὴν
σ. 61 αὖθις ‖ ἐν τοῖς Βρανιανοῖς, καὶ τὴν παρ᾿ αὐτοῦ λαβὼν εὐχὴν

[1] κᾀκεῖ [2] βυζίνς

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΤΟΥ ΝΕΟΥ ΕΛΛΗΝΙΣΜΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Επ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μετὰ γραμμάτων συστατικῶν ἐς Κωνσταντινούπολιν ἀναβαίνει, παιδείας ἐφιέμενος ἐπιστημονικῆς. Ὑποδεχθεὶς τοίνυν παρὰ τῶν τὰς ἐπιστήμας τῷ τότε διδασκόντων λίαν εὐνοϊκῶς (οἵτινες Σπαντωνὴς ἦσαν καὶ Σεβαστός, οἱ Ἰωάννου τοῦ Καρυοφύλλου ἀκροαταί, καὶ μετ' αὐτὸν Ἀλεξάνδρου τοῦ πρώην μὲν διερμηνευτοῦ γενομένου τῆς βασιλείας, μετέπειτα δὲ πρέσβεως πρὸς τὸν τῆς Γερμανίας καίσαρα Λεοπόλδον, εἶτα ἐξ ἀπορρήτων χρηματίσαντος καὶ νῦν ἔτι ὄντος), συναριθμεῖται τοῖς πρώτοις τῶν παρ' αὐτοῖς φοιτητῶν, καὶ γενόμενος τινῶν ἐπιστημῶν ἐγκρατής, ὑπὸ λοιμοῦ τὸν βίον αὐτόθι κατέστρεψεν.

Ὁ δὲ μακαριστὸς οὗτος Εὐγένιος ὑπὸ τοῦ πολλοῦ γήρατος καμφθείς, τριγέρων γὰρ ἦν, ὡς κὰν[1] ταῖς πρὸς διαφόρους αἷς ἔπεμπεν ἐπιστολαῖς ἑαυτὸν ὑπέγραφε, καὶ τὰ νεστόρεια ὑπερβεβηκὼς ἔτη, πολὺν μὲν εἶχε τὸν πόθον τοὺς ὡς αὐτὸν φοιτῶντας διδάσκειν, μὴ δυνάμενος δέ, τοῦ προτρέπειν οὐκ ἐπαύετο τοὺς δυναμένους λόγων ἀντέχεσθαι, καὶ τούτους ὅση δύναμις μεταδιώκειν· οὐ μὴν δέ, ἀλλὰ καὶ συνεχῶς ἐπιστέλλειν οὐκ ὤκνει πρὸς οὓς ἡ δύναμις ὑπηγόρευε, γραμμάτων || παιδευτήρια συνιστᾶν[2], ἐλεημοσύνης οὐδὲ μιᾶς ἐλάττονα, σ. 62
ἀλλὰ καὶ πασῶν τῶν ἄλλων πρωτεύουσαν τὴν διὰ λόγου καὶ ἐς λόγους γενομένην διὰ πολλῶν εἶναι πείθων αὐτούς. Ταύτῃ τοι καὶ τῆς ἐν τῇ Κωνσταντινουπόλει συστάσῃ παρὰ τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου κυρίου Μανουήλου τοῦ ἀπὸ Καστορίας σχολῆς, εἰ καὶ πολλοί τινες ἦσαν οἱ συνεργοὶ καὶ ἄλλοι, καὶ πάντων μᾶλλον ὁ μακαριώτατος πατριάρχης Ἱεροσολύμων Νεκτάριος, οὗ καὶ πρόσθεν ἐμνήσθημεν· ἀλλ' οὐ μικρὸν καὶ οὗτος συνεβάλετο[3] μέρος, συνεχῶς αὐτῷ ἐπιστέλλων καὶ ἐγκωμίοις γεραίρων τοῦ ἐγχειρήματος, καὶ ἑτέρας ἔτι συστῆσαι προτρέπων αὐτόν· καὶ δὴ καὶ συνέστησαν, ἑτέρας ἔτι τῇ τούτου προτροπῇ δύο, μίαν μὲν ἐν Ἄρτῃ τῇ τῆς Ἀκαρνανίας, ἑτέραν δὲ ἐν τῷ Ἀνατωλικῷ τῆς Αἰτωλίας.

Γέγραφε γὰρ πρῶτον αὐτῷ περὶ τῆς κατὰ τὸ Ἀνατωλικόν, καὶ ὑπέσχετο δοῦναι τὰ πρὸς τὴν τοῦ καθηγητοῦ διατροφὴν καὶ τῶν φοιτητῶν. Ἀλλ' ὁ Ναυπάκτου καὶ Ἄρτης Βαρθολομαῖος, ἐκεῖσε τότε παρών, διεκώλυσεν αὐτόν, ἀνάξιον ἡγησάμενος τὸ Ἀνατωλικὸν χωρίον ἀποδειχθῆναι τοιαύτης σχολῆς, τὴν τοῦ τόπου στενότητα προβαλλόμενος, καὶ ἐπὶ τὴν Ἄρταν μετα||θέσθαι ταύτην πείθων αὐ- σ. 63

[1] κᾶν [2] συνιστᾶν [3] συνεβάλλετο



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΣΗ: ... Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τόν, ὡς πόλιν οὖσαν μεγάλην καὶ ἣ φησι περὶ τῆς Τροίας Ὅμηρος εὐρυάγειαν. Ποιεῖ τοῦτο ὁ τρισμακάριος ἐκεῖνος ἀνὴρ μάλα προθύμως καὶ ἐγχειρίζει φέρων τῷ διαληφθέντι Βαρθολομαίῳ τῷ Ἄρτης ἀργυροῦς τρισχιλίους. Καὶ τοιαύτην ἔσχε τὴν ἀρχὴν ἡ κατὰ τὴν Ἄρταν σχολή, προκαταρκτικὸν αἴτιον ἔχουσα τὸν Εὐγένιον, εἰ καὶ ἀμελείᾳ τῶν ἐπιτροπευόντων αὐτῆς μικροῦ δεῖν εἰς τὸ μὴ ὂν ἐλθεῖν ἐκινδύνευε· νῦν δὲ πρὸ ὀλίγων ἐτῶν σπουδῇ καὶ ἐπιμελείᾳ φιλοθέων τινῶν καὶ φιλομούσων ἀνδρῶν ἤρξατο κατά τι εὐδοκιμεῖν καὶ ἐπὶ τὸ κρεῖττον προκόπτειν.

Τούτων ἀκούσας Εὐγένιος περὶ τῆς κατὰ τὴν Ἄρταν σχολῆς καὶ ὅτι πέρας οὐκ ἔλαβε τὰ τῆς τοῦ Ἀνατωλικοῦ, περὶ ἧς αὐτῷ πρότερον ἦν γεγραφώς, μικρόν τι πρὸς τὸν Βαρθολομαῖον σκανδαλισθείς, ὡς ὑπὸ φθόνου τυχὸν κινηθέντος καὶ κωλύσαντος τὴν κατὰ τὸ Ἀνατωλικὸν γενέσθαι, εἰ καὶ ἄλλως οὐ τὴν τυχοῦσαν αὐτῷ ἐνεποίει χαρὰν τὸ τοιαύτην συστῆναι κατὰ τὴν Ἄρταν σχολήν, πλείονα τὴν ἐξ ἐκείνης ὠφέλειαν τοῖς Ἕλλησιν ἡγησάμενος διὰ τὴν τοῦ τόπου εὐρυχωρίαν, ὡς δυναμένων πλειόνων ἐκεῖσε συνδραμεῖν καὶ τῶν ἀναγκαίων μᾶλλον
σ. 64 εὐπορεῖν διὰ τὸ τῆς χώρας εὔ‖καρπον, καὶ δευτέροις χρῆται περὶ τῆς αὐτῆς ὑποθέσεως γράμμασι πρὸς τὸν τῆς ἐλεημοσύνης ἐκεῖνον ἐργάτην, δεινοπαθῶν μὲν ἐφ' οἷς ἀπέτυχε περὶ τοῦ Ἀνατωλικοῦ, χαίρων δὲ ἐφ' οἷς τοσαύτην ἐποίησε τὴν εὐεργεσίαν τοῖς Ἕλλησι διὰ τῆς κατὰ τὴν Ἄρταν σχολῆς.

Ὁ δὲ καὶ ὑπὲρ ταύτης ὑπισχνεῖται πεντακοσίους καταβαλεῖν ἀργυροῦς, καὶ πέμπει τούτους αὐτῷ διά τινος τῶν ἐκ τῶν Ἀγράφων ἀνδρὸς πιστοῦ, γράψας πρὸς αὐτόν, εἰ καὶ πλειόνων ἐν χρείᾳ γένηται, μὴ κατοκνῆσαι δηλοῦν, καὶ μετὰ πάσης πεμφθήσονται τῆς προθυμίας. Ὁ δὲ προσλογισάμενος τούτοις τοῖς παρ' αὐτοῦ τούτου πρότερον καταβληθεῖσι τριακοσίοις (αὐτὸς γὰρ ἦν πρῶτος ἐκ τῶν παρ' ἑαυτοῦ τὴν ἀρχὴν ποιησάμενος πρὸ χρόνων τινῶν), ὡς γίνεσθαι τοὺς πάντας ὀκτακοσίους, ἱκανῶς ἔχειν ᾠήθη πρὸς τὴν σύστασιν τῆς τοιαύτης σχολῆς· καὶ δὴ καὶ συνέστησεν αὐτήν, μηδὲν ἐκεῖνον περαιτέρω τὸν ἄνδρα παρενοχλήσας, καὶ Γρηγόριον τὸν Μάνεσιν πατριώτην ὄντα καὶ πρῶτον, ὡς ἔφημεν, τῶν αὐτοῦ γεγονότα ὁμιλητῶν τῆς κατὰ τὴν ἐνεγκαμένην αὐτὸν ἔταξε προστατεύειν σχολῆς, ὃς καὶ προέστη ταύτης ἐπὶ χρόνους συχνούς, καὶ φοιτηταὶ συνήχθησαν πρὸς αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

τὸν οὐκ ὀλίγοι αὐτόχθονές τε καὶ ὑπερόριοι· ἀλλ' οὐ δῆτα καὶ ἀνά-
λογον || ἐγίνετο τῇ δαπάνῃ τὸ κέρδος δι' αἰτίας πολλάς· ἀεὶ γὰρ τοῖς σ. 65
τοιούτοις ὁ βάσκανος ἐπιτίθεται δαίμων, παντοίᾳ μηχανῇ πειρώμε-
νος ἀποσβέσαι τὸ τῆς γνώσεως φῶς περὶ οὗ τὸν λόγον ἐνταῦθα μη-
κύνειν ἄκαιρον ἐμοὶ δοκεῖ παντελῶς.

Τοσοῦτον δὲ πάντας ἠγάπα τοὺς ἐκ τοῦ Ἀνατωλικοῦ ὡς καὶ συ-
χνὰς τούτοις ἔκ τε Καρπενησίου τὸ πρότερον καὶ ἐκ τῶν Ἀγράφων
τὸ δεύτερον πέμπειν ἐπιστολάς, νῦν μὲν πρὸς ἦθος τούτους τυπῶν,
νῦν δὲ πρὸς λόγους προτρέπων, ἔστι δὲ οὓς καὶ ἐλέγχων καὶ ἑτέροις
τὰ φιλικὰ προςλαλῶν καί τινας ὡς εἴωθεν ἀστεϊσμοὺς ἐγκαταμιγνύων
τοῖς λόγοις· βοηθείαις τε πρὸς αὐτοὺς ἐχρῆτο καὶ λόγοις ἅμα καὶ ἔρ-
γοις· ὡςαύτως δὲ καὶ παρ' αὐτῶν ἐφιλεῖτό τε καὶ εὐλαβείας ἠξιοῦτο
πολλῆς. Μᾶλλον δὲ ὡς κοινὸς πάντων πατὴρ ἐλογίζετο μέχρι τῆς αὐ-
τοῦ τελευτῆς. Βουλομένοις δέ ποτε τούτοις καὶ εἰς Κωνσταντινούπο-
λιν κοινῇ γνώμῃ πέμψαι τινὰς ἐπὶ βοηθείᾳ τῶν κατ' ἔτος κατερχο-
μένων ἡγεμόνων ἐπιφορτιζόντων αὐτοὺς καὶ τοῖς φόροις φόρους ἐπι-
τιθέντων ἀδίκους, κατὰ πολὺ καὶ οὗτος αὐτοῖς συνειςήνεγκε, γράμ-
μασι τοῖς παρ' ἑαυτοῦ τοὺς ἄνδρας ἐφοδιάσας πρὸς Παναγιώτην τὸν
διερμηνευτήν, φιλίᾳ συνδεδεμένον ὄντα πολλῇ πρὸς αὐτὸν καὶ εὐλα-
βείας οὐ τῆς τυχούσης ἀξιοῦντα καὶ γράμ||μασι πολλάκις προςαμειβό- σ. 66
μενον. Οἳ καὶ ἀνελθόντες καὶ τὰ γράμματα αὐτῷ προςκομίσαντες,
πολλῆς τῆς δεξιώσεως ἔτυχον παρ' αὐτοῦ, καὶ πᾶν ὅ τι ἐβούλοντο
δι' αὐτοῦ πληρώσαντες, κατῆλθον εἰς τὴν πατρίδα πολλὴν αὐτῇ τὴν
ὄνησιν φέροντες. Καὶ Εὐγενίῳ μᾶλλον ἢ ἐκείνῳ τὴν χάριν ταύτην
ἀφωσιοῦντο, ἅτε δὴ τοσαύτης ἀξιουμένῳ καὶ παρὰ τῶν μέγα δυνα-
μένων αἰδοῦς.

Οὕτως ἦν τοῖς καταπονουμένοις πᾶσι διὰ τῶν γραμμάτων ἀπαν-
ταχοῦ βοηθὸς καὶ πᾶσι τοῖς ἐκ τῶν ἱερῶν καὶ σεβασμίων μονῶν ἐλεη-
μοσύνης χάριν περιοδεύουσι, τοῖς τε ἐκ τοῦ Σιναίου ὄρους καὶ τοῦ ἁγίου
καὶ ζωοδόχου Τάφου, τοῖς τε ἐκ τοῦ ἁγιωνύμου ὄρους τοῦ Ἄθωνος
καὶ ἁπλῶς εἰπεῖν ἐκ πασῶν τῶν κατὰ τὴν καθ' ἡμᾶς οἰκουμένην ἐπ'
αὐτῷ τούτῳ περιιόντων οὐ μικρὰ συνεβάλλετο [1] τὰ μὲν αὐτὸς παρ'
ἑαυτοῦ, τα δὲ δι' ἄλλων διδούς.

Ἐξαιρέτως δὲ περὶ τῆς ἱερᾶς καὶ σεβασμίας μονῆς τῆς ἐπονομα-

[1] συνεβάλετο

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ζομένης Τετάρνης, τῆς παρὰ τὸν Ἀχελῷον κειμένης ποταμόν, πολ-
λὴν εἶχεν ἐκ πολλοῦ τὴν φροντίδα καὶ τῆς ἀνακαινίσεως ταύτης (ἠρή-
μωτο γάρ, καὶ ἦν ἐπιμελείας ἀξιουμένη μηδὲ μιᾶς ἐπὶ ἔτη σχεδὸν
σ. 67 τριάκοντα) αὐτὸς οὗτος ὑπῆρξεν αἴτιος. Ἰακω‖βόν τινα ἱερομόναχον,
ἐπ' ὀλίγον μὲν αὐτῷ μαθητεύσαντα, ἀσκητικῇ δὲ ἀγωγῇ ἑαυτὸν ἐκ-
δόντα καὶ πολλαῖς κατακοσμούμενον ἀρεταῖς, ἔκ τινος τῶν περὶ τὴν
Ἄρταν χωρίων ὁρμώμενον καλουμένου Πέτα, ἐπὶ τὴν προστασίαν
ταύτης [1] προτρέψας, καίτοι γε μόλις πρὸς τοῦτο πεισθέντα διὰ τὸν
τῆς ἡσυχίας καὶ ἀπραξίας ὃν εἶχεν ἔρωτα καὶ μοναστικὸν βίον βιοῦν
ἑλόμενον, ἀλλ' ἵνα μὴ τῆς τούτου ὑπακοῆς ἐκπέσῃ τὸ φορτίον τῆς
προστασίας ταύτης ἀναδεξάμενον. Κἀκεῖνος [2] μὲν ὡς προστάτης ἐγνω-
ρίζετο τῆς μονῆς· οὗτος δὲ ἦν αὐτῷ πάντα ἐν πᾶσι γινόμενος διὰ τῶν
ἐπιστολῶν πρὸς τοὺς δυναμένους τὴν παρ' αὐτῶν παρέχειν μετὰ θεὸν
τῇ μονῇ βοήθειαν. Καὶ οὕτω μὲν ἐποίει ἐφ' ὅσον ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ [3]
ἐν τοῖς ζῶσιν ἐγνωρίζετο· μετέπειτα δὲ τῷ μετὰ τὸν ἐκείνου θάνατον
διαδόχῳ γενομένῳ τῆς προστασίας πλείονα συνεισήνεγκε τὴν σπου-
δήν. Ἀνανίας οὗτος ἦν ὁ πᾶσι καὶ πανταχοῦ γνώριμος δι' ὧν ὑπὲρ
αὐτῆς ἐπεπράχει καθ' ὅλον αὐτοῦ τὸν βίον, ἅτινα διὰ τὸ πᾶσιν εἶναι
καταφανῆ περιττὸν καταλέγειν· ὅςτις καὶ εἰς ἀρχιεπισκοπικὴν ἀξί-
αν [4] μετὰ ταῦτα ἀνήχθη, τὴν τοῦ Φαναρίου καὶ Νεοχωρίου, καὶ οὐδ'
οὕτω τῆς περὶ αὐτὴν ἀπελίπετο ἐπιμελείας, κἂν [5] ταύτῃ τὸ ζῆν οὐ
πρὸ πολλῶν ἐξεμέτρησε χρόνων.

σ. 68 ‖ Ὅτι δὲ πλείονα τότε κατεβάλλετο τὴν σπουδὴν δηλοῖ καὶ τὰ παρ'
ἡμῶν εἰς αὐτὸ τοῦτο γενόμενα ἰαμβεῖα μεθ' ἑνὸς ἡρωελεγείου, τὴν
πολλὴν περὶ τῆς ἱερᾶς ταύτης μονῆς αὐτοῦ φροντίδα καὶ ἐπιμέλειαν
σαφῶς παριστάνοντα, ἔχοντα οὑτωσί·

Στίχοι ἰαμβικοὶ εἰς Εὐγένιον προτρεπόμενον Ἀνανίαν ἐπὶ τὴν τῆς μονῆς προστασίαν.

Μόχθων ἄνευθεν καὶ πόνων οὐδείς, τέκνον
τῆς βασιλείας οὐρανῶν κλῆρον λάχεν·
καὶ γὰρ βιαστῶν ὡς βιαστὴ τυγχάνει,

[1] ταύτης κατὰ νεωτέραν διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ταύτην
Λ ἀνὴρ
[2] κἀκεῖνος [3] ἐκεῖνος Λ ἐν [4] ἀξίαν κατὰ νεωτέραν διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος ἀξίας [5] κἂν

πόνοις τε πολλοῖς καὶ κόποις θηρευτέα.
Τί οὖν τὸ θαῦμα καὐτὸς εἰ πολλοῖς πόνοις
ταύτης γενήσῃ τῆς μονῆς ἀρχηγέτης,
τῆς πάντα θείας καὶ περικαλλεστάτης,
καὶ ταῦτα μητρὸς τοῦ θεοῦ μου καὶ λόγου
περισκεπούσης τῷδε ταύτην τῷ τρόπῳ;
Τοίνυν γενοῦ μοι τάχος αὐτῆς προστάτης,
καὶ πάντα πάντως χρηστὸν ἕξει καὶ τέλος.

Εἰς Ἀνανίαν ἀποκρινόμενον Εὐγενίῳ ἐπὶ τῇ προτροπῇ.

Εἰ καὶ τὸ σὸν πρόσταγμα θεῖον ὡς πέλει,
διδασκάλων ἄριστε, δύσοιστον δ' ὅμως
||ἐμοὶ δοκεῖ καὶ ἄχθος οἷόν τι μέγα σ. 69
μονῆς γενέσθαι τηλικαύτης προστάτην.
Τούτου χάριν δέδια μή τι καὶ πάθω,
κατωμαδὸν τοσοῦτον ἄρας φορτίον.
Ἀλλ' οὖν ἐπειδὴ προστάτιν καὶ κυρίαν
τὴν Παρθένον σὺ καθυπισχνῇ μοι, πάτερ,
ἔπος λέγειν ἄντικρυς οὐδὲν οὐκ ἔχω.
Πάντως γε μὴν χρὴ καὶ σὲ συμπαρεστάναι
σύμβουλον ἀεὶ[1] δεξιὸν τῶν πρακτέων.

Ἡρωελεγεῖοι ὡς ἀπὸ τοῦ Εὐγενίου.

Εὐγένιος παλάμησιν ἀριστοπόνοισιν ἑῇσιν
οὐ δύναται πονέειν σῶμ' ἀλαπαδνὸν ἔχων.
Ἵκετο γὰρ δὴ γῆρας ἐπ' ἔσχατον ἄγχι θανάτου,
καί οἱ πάντα λύθη γυῖα χερῶν τε τόνος·
μέ σφ' ὅτε μέντοι τῷδε βίῳ θεὸς αὐτὸν ἐέργοι
μήδεσιν οὐ λήξει πώποτ' ἀρηγέμεναι.

Οὐ περὶ τῶν ἱερῶν δὲ μόνον μονῶν πολλή τις ἦν αὐτῷ ἡ φροντίς, ἀλλὰ καὶ περὶ πολλῶν ἄλλων ἐκκλησιῶν. Τὸν γὰρ ἐν τῷ Καρπενησίῳ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, οἰκοδομήσας ναόν, πολλῶν καὶ ἄλλων ἀπέδειξε[2] τοῦτον ἀρχέτυπον, καὶ πολλοὺς εἶχε τοὺς μιμητὰς ἔν τε τῇ κωμοπόλει ταύτῃ καὶ ἑτέ-

[1] ᾀεὶ [2] ἀπέδειξε κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος ὑπέδειξε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σ. 70 ροις || τῶν πέριξ χωρίων. Καὶ τοσαύτη μὲν ἦν αὐτῷ ἡ περὶ τῶν θείων καὶ ἱερῶν ναῶν ⟨ἡ⟩ φροντίς. Τὴν δὲ πρὸς τοὺς δεομένους ἐπικουρίαν τε καὶ χορηγίαν, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ φανερῶς τε καὶ ἀφανῶς ἐποιεῖτο, τίς ἂν ἱκανῶς εἰπεῖν δυνηθείη λόγος; Ἐμοὶ δοκεῖν, οὐδ' αὐτὸς ὁ ἐν λόγοις δεινότατος ἀξίως ταύτης παραστῆσαι δυνατὸς ἂν γένοιτο τὸ βραχύτατον. Οὕτω γὰρ ἦν συμπαθής, οὕτω φιλόπτωχος, ὡς μηδὲν περὶ τῆς αὔριον εὐαγγελικῶς περὶ ἑαυτοῦ μεριμνᾶν [1]· διὸ καὶ εἰς ἔνδειαν τῶν ἀναγκαίων μετὰ ταῦτα κατέστη πολλήν. Ἀλλ' ἡ πάντων προνοητικὴ καὶ τῶν καλῶν ἀφθονοπάροχος τοῦ θεοῦ σοφία καὶ δύναμις οὐδαμῶς αὐτόν τε καὶ τοὺς εἰς αὐτὸν ὁρῶντας τῶν δεομένων εἰς τέλος τῇ ἐνδείᾳ πιέζεσθαι κατελίμπανε, παρεῖχε δὲ πάντα ἀφθόνως αὐτῷ τὰ πρὸς τὴν ἐν τῷ μετὰ σώματος βίῳ διαγωγὴν ἀνήκοντα καὶ ἑτέροις οἷς οἶδε τρόποις.

Τὰ γὰρ ἀνωτέρω λεχθέντα χρήματα τὰ ἐν Κωνσταντινουπόλει παρὰ τῶν εἰρημένων φιλοθέων ἐκείνων ἀνδρῶν ἐλεημοσύνης λόγῳ συλλεχθέντα καὶ οἰκονομηθέντα φροῦδα παντάπασιν ἐγένοντο μετὰ τὸν θάνατον τοῦ πρῶτον ταῦτα παραλαβόντος ἐν ταῖς χερσί, καὶ οὐδὲν τούτων τὸ μονύδριον ἐκ τῶν ἐκείνου διαδόχων ἀπείληφε. Διὸ καὶ πολλάκις περὶ αὐτῶν [2] ἐρευνήσας τοὺς τὴν ἀπώλειαν αὐτῶν συνειδότας
σ. 71 καὶ μηδὲν δυνηθεὶς λαβεῖν, ἀφορισμόν, ὡς ἔθος τῇ καθ' ἡμᾶς ἐκ||κλησίᾳ, ποιησάμενος καὶ παρά τινος τῶν ἐκ τοῦ χωρίου δι' αὐτὸ τοῦτο σκληρόν τινα λόγον ἀκούσας, ἠχθέσθη μὲν οὐ μετρίως, ἠβουλήθη δὲ μετανάστης ἀπὸ τῆς Γούβης γενέσθαι, τῶν Καρπενησιωτῶν προσκαλουμένων αὐτόν. Καὶ αὖθις εἶχε τοῦτον τὸ Καρπενήσιον, καίτοι πολλοὺς καὶ ἐν αὐτῇ τῇ Γούβῃ διατρίψαντα χρόνους. Κατέλιπε δὲ ἐν ταύτῃ Σάββαν τινὰ ἱερομόναχον τῶν ἐκ τῆς αὐτοῦ συνοδίας, ἄνδρα ἑλληνικῶν μὲν μαθημάτων ἄπειρον, ἀρετῇ δὲ συζῶντα πολλῇ, ὃν καὶ Ἡγιασμένον δι' αὐτὸ τοῦτο ἐκάλει. Παρέλαβε δὲ μεθ' ἑαυτοῦ τὸν Ἰωακείμ, ὃν ὁ λόγος ἀνωτέρω δεδήλωκε, σὺν αὐτῷ τε κἀμὲ [3] τῆς τῶν ἐφήβων ἡλικίας τὸ τηνικαῦτα [4] ἁπτόμενον.

Πολὺ δὲ τὸ διάφορον ἔχον ὁρῶν τῆς ἐν ᾗ πρότερον κατέλιπε τὸ Καρπενήσιον καταστάσεως, ὑπὸ παντὶ λίθῳ σκορπίος εὕδει, τὴν παροιμίαν ταύτην ἐπὶ στόματος εἶχεν ἀεί. Μόλις δὲ ἔτος ἓν καὶ μόνον ἐν αὐτῷ πληρώσας, τῶν κατ' αὐτὸ θορύβων ἀπαναστῆναι πάλιν

[1] μεριμνᾷν [2] αὐτὸν [3] κἀμὲ [4] τοτηνικαῦτα

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐσπούδαζεν. Ἐξελθὼν δὲ τούτου (εἰ καὶ τὴν ἀλήθειαν πρὸ παντὸς τιμᾶν [1] ἄξιον), ἀκόντων τε πάντων καὶ ἀνθελκόντων πλὴν ὀλίγων τινῶν, εἰς Ναύπακτον τὴν προκαθεζομένην πόλιν τῆς Αἰτωλίας διὰ τῆς πατρίδος· τὸ Μέγα δένδρον φημί· καταβαίνει, μηδένα τῶν ἐκ τῆς συνοδίας αὐτοῦ συνεπόμενον ἔχων πλὴν ἐμοῦ, κἀκεῖθεν [2] εἰς Μεσολόγκιον ἔρχεται, καὶ ἐξ αὐτοῦ πάλιν εἰς || τὸ Ἀνατωλικόν. Διατρί- σ. 72
ψας δὲ ἐνταῦθα ἐφ' ὅσον ἦν αὐτῷ ἀρεστὸν, εἰς τὸ Δραγαμέστον διὰ τοῦ Ἀχελῴου καὶ τῆς ἐπέκεινα τούτου πορείας γίνεται, καὶ ὅλην ἐκεῖ προσμείνας τὴν ἁγίαν καὶ μεγάλην Τεσσαρακοστὴν (ταύτης γὰρ ἦν ὁ καιρὸς) μετὰ τὸ Πάσχα καὶ τὰς μετ' αὐτὸ ἑπομένας ἑορτὰς ἐπανακάμπτει [3] αὖθις διαπόντιος εἰς τὴν Κατοχὴν διὰ τῶν παρ' Οἰνιάδας τοῦ Ἀχελῴου ποταμοῦ ἐκβολῶν, κἀκεῖθεν αὖθις εἰς τὸ Ἀνατωλικόν. Ταύτην δὲ τὴν περίοδον δι' οὐδὲν ἕτερον ἐποιεῖτο εἰ μὴ τόπον ἡσυχίας ζητῶν εὑρεῖν, ἀλλ' οὐδὲν ταύτης ἀπώνατο· πάντα γὰρ ἦν θορύβων μεστὰ καὶ πλήρη κακῶν.

Ἔνθεν [4] τοι καὶ παντάπασι τῆς ἐπὶ τάδε οἰκήσεως ἀπογνοὺς, τὴν ἐς τὰ τῶν Ἀγράφων ὄρη φέρουσαν προκριτέαν πάντων εἶναι ἡγήσατο· καὶ ἅπτεται μὲν αὐτίκα [5] ταύτης, ὅρον δὲ τίθησιν αὐτῇ τὸν πρὸς ὅν, τὴν σεβασμίαν τῆς Τετάρνης μονήν. Ἐν ᾗ καὶ γενόμενος ἀρρωστίᾳ περιπίπτει δεινῇ. Ταύτης δὲ τῇ τῆς Θεομήτορος βοηθείᾳ ἀναρραΐσας, ἡ φήμη τῆς τούτου κατὰ τὴν Τετάρναν ἐλεύσεως προῆλθε καὶ μέχρι τῶν ἐν Βρανιανοῖς, οἳ καὶ τῆς τούτου στερήσεως εἰληφότες τὴν πεῖραν πολλὴν εἶχον τὴν ἔφεσιν τοῦ καὶ πάλιν αὐτὸν ὡς καὶ πρότερον εἶχον ἰδεῖν. Διὸ καὶ μηδὲ μίαν ποιησάμενοι τὴν ἀναβολὴν οἱ τηνικαῦτα τῶν ἄλλων || προὔχοντες ἐν τῇ μονῇ κατῆλθον ζητοῦν- σ. 73
τες αὐτὸν, μεθ' ὧν ἦν καὶ πατὴρ ὁ ἐμὸς, πένης μὲν ἄλλως καὶ χειρωνακτικῷ βίῳ ζῶν, πολλὴν δὲ ὅμως τὴν πρὸς αὐτὸν εὔνοιαν τρέφων ἐν αὐτῷ. Θεασάμενος δὲ τούτους οὕτως ἐξαίφνης ἐξελθόντας, ἡδονῇ καὶ θαύματι σύγκρατος ἦν, καὶ πόθεν οὕτως ἐν ταύτῃ τῇ ἱερᾷ μονῇ παρεγένοντο [6] τούτους ἠρώτα, μὴ καὶ πρότερον μέχρι ταύτης εἰωθότας κατέρχεσθαι. Σοῦ ἕνεκά φασι νῦν μεθ' ὅ τι πλείστης σπουδῆς ἐνταῦθα κατήλθομεν, ὡς ἐκ προσώπου πάντων τῶν ἐν τῷ ἡμετέρῳ χω-

[1] τιμᾶν [2] (καὶ κατωτέρω) κἀκεῖθεν [3] ἐπανακάπτει [4] ἐνθέν
[5] αὐτῆκα [6] παρεγένοντο κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος παρεγένετο

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ρίῳ κατοικούντων πεμφθέντες· διὸ καὶ ἀξιοῦμεν μηκέτι παριδεῖν ἡμᾶς τοσοῦτον χρόνον τὴν σὴν ὀρφανίαν φέροντας, ἀλλ' ἐπὶ τὸ σὸν μονύδριον ἀνελθεῖν καὶ τοὺς ἐκ πολλοῦ τοῦ χρόνου κατιδεῖν σε ἐφιεμένους παραμυθήσασθαι, τοῖς δέ γε διὰ λόγου ἢ ἔργου σοι προςκεκρουκόσιν, οἷα Χριστοῦ μιμητής, συγχώρησιν παρασχεῖν.

Τούτοις τε καὶ ἑτέροις πλείοσι λόγοις πρὸς ἀλλήλους καθομιλήσαντες, τὰ πρὸς τὴν ἄνοδον ἡμῖν εὐτρεπίζειν παρεκελεύετο, καί, ἵνα τὸ πᾶν συνεχῶς εἴπω, ἐπανήλθομεν ὅθεν ἐξήλθομεν. Τί δ' ἄν τις εἴποι περὶ τῆς τότε γενομένης παρὰ τῶν ἐγχωρίων χαρᾶς; Οὐδὲ γὰρ λόγῳ ταύτην δύναμαι παραστῆσαι. Ποθεινοτέρα δὲ καὶ αὐτῷ ἡ ἐν τῷ ἰδίῳ
σ. 74 κελλίῳ οἴκησις τηνικαῦτα ἐδόκει, καὶ ‖ πασῶν ὧν τὴν πεῖραν ἔλαβε κρείττων. Καὶ ἀριθμὸν ἐτῶν ἱκανῶν [1] αὐτόθι τὸ δεύτερον ἐλθὼν διήρκεσε μένων. Ἀλλὰ καὶ αὖθις ἐκ τῶν αὐτῶν αἰτιῶν, ὧν καὶ πρότερον ἡμῖν εἴρηται, κινηθεὶς γήρᾳ τε πολλῷ βαρυνόμενος καὶ ὑπό τινος Ἀρσενίου ἱερομονάχου, τῶν αὐτοῦ ὄντος, ὡς ἔφημεν, φοιτητῶν, ἀπὸ Καρπενησίου ἐλθόντος, ἐρεθισθεὶς καὶ ἑτέρων ἔτι πολλῶν (ἦν γὰρ τότε δι' ὑπερβολὴν γήρως καὶ τοῖς τυχοῦσι τῶν ὁμιλούντων αὐτῷ πειθόμενος) βουλεύεται καὶ τρίτον εἰς Καρπενήσιον ἀπελθεῖν. Ὃ καὶ ποιήσας αὐτίκα μετάμελος ἐγεγόνει, καὶ αὖθις τοῦτον ἡ Γοῦβα ὥς τινα σῖτον ὥριμον εἰς τὴν ἀποθήκην δέχεται, οὐ διὰ τῆς αὐτῆς, ἀλλὰ δι' ἑτέρας ἐπανακάμψαντα, περίοδόν τινα τετελεκώς, ἣν καὶ λιτὴν κατάπτυστον συνεχῶς ἐφίλει κατονομάζειν. Ἐν ᾗ καὶ γενόμενος, πολλὴν ἐδόκει τὴν ἀπὸ ταύτης θεραπείαν ἔχειν· ἔστι γὰρ ἐς τὰ μάλιστα ὁ τόπος ὑγιεινὸς ἀπὸ τῆς τοῦ ἀέρος εὐκρασίας, καὶ πηγή τις ἐνταῦθα ἐκδίδωσι καθαροῦ καὶ ἡδίστου νάματος, Φοντάνα ὑπὸ τῶν ἐγχωρίων καλουμένη καὶ πολλὴν κεκτημένη τὴν φήμην· ἣν καὶ ἐπιγράμματος ἠξίωσεν ἐξ ὅτου [2] πρῶτον ἐν αὐτῇ παρεγένετο, τοῦτον τὸν τρόπον ἔχοντος·

Ἵζεό μοι πάρα, ὦ ξένε, κἂν κεν ὁδοῖο παρέλκω,
 πίε δὲ καὶ νάματος τοῦδε ἀκηρασίου.
σ. 75 ‖ Ἐλθὼν οὖν ὑπὸ τῆςδε κεράσου μοι ἀνάκεισο,
 νίζε θοούς τε πόδας χρῶτα τέρην τε ἅπαν.
Φοντάνα κικλήσκουσί με νῦν ἐγχώριοι ἄνδρες
 φωνῇ τῇ Λατίνων, οὐκ Ἀχαΐδι, φίλε.

[1] ἱκανῶν (τὸ πρῶτον ἱκανὸν) [2] (καὶ κατωτέρω) ἐξότου

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ταῦτ' ἄρα καὶ περὶ μηδεμιᾶς ἔτι φροντίσας ἑτέρας ἀποδημίας, ἀλλ' ἐν αὐτῇ τὸ λειπόμενον διαρκέσαι τοῦ βίου διεγνωκώς, εἰ καὶ ἐκ πολλοῦ τοῦτο κατὰ νοῦν εἶχεν, ἀλλ' ἔκ τινων, ὡς ἔφημεν, περιστάσεων ἐνοχλούμενος ἐποιεῖτο τὰς μεταβάσεις. Ἐκ γὰρ πολλῶν ἐτῶν αὐτόθι ὁ τάφος αὐτῷ ἐσχεδίαστο, καὶ μονονοὺ[1] τὸν βίον καθ' ἑκάστην τοῦτον ὁρῶν ἀπέλειπεν. Ἐξ ὅτου γὰρ Θεόδωρον τὸν ἡμέτερον ἀδελφὸν, ἐν παιδικῇ ἡλικίᾳ ὄντα καὶ Γόρδιον παρ' αὐτοῦ πρῶτον ὀνομασθέντα, πικρῶς θανόντα ἐθρήνησεν, ὥστε θαυμάζειν τοὺς ὁρῶντας αὐτὸν, καὶ ἐν τῷ τοῦ ναοῦ νάρθηκι ταφῆναι ἐκέλευσεν, ἐκεῖσέ πῃ καὶ ὀπήν τινα ἐπέσκηψε γενέσθαι τὸν ἑαυτοῦ τάφον δεικνύουσαν καὶ ἐπιτηδείως ἔχουσαν εἰς κηροῦ καὶ λύχνου καὶ φωταγωγοῦ ἔξαψιν· ὃ δὴ καὶ ἐγένετο ἐν καιρῷ τῷ προσήκοντι.

Πόθῳ δὲ τῷ πρὸς τὰ θεῖα πόθον προσθεὶς καὶ τὸν βίον μελέτην θανάτου ποιούμενος, ὃ δὴ φιλοσοφίας ὅρος ἐστὶν ὁ ἀκρότατος, καὶ τὰ ἐνταῦθα οὐδενὸς ἄξια λογιζόμενος, ἐν τῇ τῶν ‖ μελλόντων θεωρίᾳ ἦν σ. 76
ὅλος ἐκδεδομένος, εἶχε δὲ καὶ ταῦτα μετὰ τῶν ἄλλων αὐτοῦ καλῶν ὥς τινα ἰδιαίτατα, τὸ ἐν ταῖς προσευχαῖς συνεχὲς καὶ ἐπίμονον· οὐκ ἀπελείπετο γὰρ ἀωρὶ τῶν νυκτῶν ἀπὸ τῆς κλίνης ἀνιστάμενος ἐπὶ πολὺ τούτων μέρος τῇ προσευχῇ προσκαρτερεῖν μετὰ πολλῶν δακρύων καὶ στεναγμῶν· τὸ ἐν ταῖς τῆς ἐκκλησίας ἀκολουθίαις πρόθυμον καὶ πρὸς τὴν ἀκρόασιν νουνεχές, ὥστε τοῖς κατά τι τῶν ἀναγινωσκόντων σφαλλομένους καὶ ἐκ δευτέρου καὶ τρίτου πάλιν τὸν λόγον λέγειν καὶ διορθοῦσθαι πολλάκις ἐπιτιμᾶν[2]· ἡνίκα δὲ καὶ ψάλλειν ἐβούλετο τούς τε τῶν δεσποτικῶν καὶ θεομητορικῶν ἑορτῶν καὶ τῶν λοιπῶν ἁγίων κανόνας οὐκ ἄνευ δακρύων εἶδεν ἄν τις τούτου τοὺς ὀφθαλμούς· τοσαύτη γὰρ αὐτῷ ἐκ τῆς ψαλμωδίας ἐγίνετο ἡ κατάνυξις· τοῦτ' αὐτὸ δὲ καὶ ἄλλων ἔπασχε συνεχῶς ψαλλόντων ἀκούων· ἡ πρὸς τοὺς δεομένους μετάδοσις καὶ ἀνωτέρω μοι ἀποχρώντως δεδήλωται· τὸ γὰρ χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων, ἀποστολικῶς εἰπεῖν, ὡς οὐδεὶς ἄλλος ἐφιλοσόφησε, συχνοί τε πρὸς αὐτὸν ἐν θλίψεσι καταφεύγοντες τῆς παρ' αὐτοῦ βοηθείας ἐτύγχανον. Οὐκ ὀλίγων δὲ καὶ αὐτὸς ἐγὼ τῶν παρ' αὐτοῦ εὐεργεσιῶν τε καὶ χαρίτων πεπείραμαι καὶ μᾶλλον τῆς πρὸς τοὺς λόγους συνδρομῆς τε καὶ προτροπῆς,

[1] μονουνού [2] ἐπιτιμᾷν

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΣΗ: Π. ΑΘΗΝΗ ΤΟΜΕΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σ. 77 καὶ ταῦτα ἐν γηραιᾷ [1] || πάνυ τῇ ἡλικίᾳ αὐτῷ ὁμιλήσας καὶ ὅσα καὶ χεὶρ αὐτῷ γινόμενος πρὸς τὰς παρ' αὐτοῦ συνταssομένας ἐπιστολάς.

Συγγράμματα δὲ αὐτοῦ ὀλίγα τινὰ καὶ κατά τινας καιροὺς πρὸς τοὺς αἰτήσαντας ἐκδεδομένα. Πρῶτον μὲν γὰρ πρὸς τοὺς ἐκ τοῦ ἁγιωνύμου ὄρους τοῦ Ἄθωνος πρὸς αὐτὸν περὶ τῆς ἁγίας προςκομιδῆς γράψαντας καὶ ἀποριῶν λύσιν αἰτουμένους ἀπόκρισιν ἐποιήσατο δι' ἑλληνικῆς φράσεως ἐν λόγοις δυσίν, ὡς ἐν εἴδει ἐπιστολῶν, οἵτινες τοῖς ἐντυγχάνουσι τῇ κοινῇ παραδόσει μᾶλλον τοῦτον προςέχειν δοκοῦσιν ἢ τοῖς λόγῳ ἀναντιρρήτῳ σαφῶς ἀποδεικνυμένοις· διὸ καὶ ἀποδοκιμαστέαν οἱ Ἀθωνῖται τὴν τούτου πρὸς αὐτὸν γενομένην ἀπόκρισιν ἀπεφήναντο [2].

Δεύτερον δὲ καὶ ἐκκλησιαστικὴν ἀκολουθίαν συνεγράψατο τοῦ καλὸν ἐν μονάζουσι λάμψαντος Διονυσίου τοῦ νέου, τοῦ ἐν τῷ Ὀλύμπῳ ὄρει ἀσκήσαντος, ὑπό τινων πρὸς τοῦτο παρακληθεὶς ἀδελφῶν καὶ συμπατριωτῶν τοῦ ἁγίου. Πρόςθες, εἰ βούλει, καὶ ἣν ἔφημεν ἀκολουθίαν Κυρίλλου ἐν Κωνσταντινουπόλει ἔτι διατρίβων ἐν νεωτέρᾳ ἡλικίᾳ.

Τὰ δὲ λοιπὰ τούτου τῶν συγγραμμάτων εἰς ἐπιστολὰς ἀναφέρεται, τὰς μὲν καὶ ἑλληνιστί, τὰς δὲ καὶ χυδαϊστὶ ἢ μιξοβαρβαριστί, ἵν' οὕτως εἴπω, γεγραμμένας, ὑπὲρ ἀριθμὸν οὔσας. Πολλὰς γὰρ καὶ
σ. 78 πρὸς πολλὰ τῶν προσώπων || ἰδιωτικῶν τε καὶ ἀξιωματικῶν ἀπέστελλεν ὡς καὶ πρὸς αὐτὸν τὸν ἐν βασιλεῦσι χριστιανικώτατον καὶ τῆς Μοσχοβίας αὐτοκράτορα συστατικάς ποτε πέμψας ἐπιστολάς, ἔτι δὲ καὶ πρὸς Νίκωνα τὸν τῶν ὑπερβορείων ἐκείνων μερῶν πατριάρχην. Παρίημι λέγειν ὅσαι πρὸς τοὺς κατὰ καιροὺς γενομένους ἐκλαμπροτάτους ἡγεμόνας τῆς τε Οὐγκροβλαχίας καὶ Μολδοβλαχίας πρός τε τοὺς τέτταρας τῆς ἀνατολικῆς ἐκκλησίας πατριάρχας καὶ πρὸς τοὺς λοιποὺς τῶν ἀρχιερέων, μάλιστα δὲ πρὸς Διονύσιον τὸν ἐκ Κωνσταντινουπόλεως, τὸν ὕστερον μὲν πολλάκις ἐπὶ τὸν πατριαρχικὸν ἀναχθέντα θρόνον, πρότερον δὲ Λαρίσης [3] ὄντα μητροπολίτην. Πρὸς τοῦτον γὰρ

[1] ἐν γηραιᾷ μόνον ἐν τῇ κάτω ᾤᾳ τῆς σ. 76 κατὰ τὸ ἔθος τῶν μεταγενεστέρων βιβλιογράφων καὶ τῶν ἐντύπων βιβλίων τοῦ θέτειν προληπτικῶς ἐν τῇ κάτω ᾤᾳ τῶν ἀρτίων τὸν ἀριθμὸν σελίδων τὴν ἀρχὴν τῆς ἑπομένης σελίδος. Τὸ ἔθος τοῦτο τηρῶν καὶ ὁ βιβλιογράφος τοῦ κώδικος ἔθηκε μὲν ἐν τέλει τῆς σ. 76 τὰς λέξεις δι' ὧν ἔμελλε νἀρχίσῃ ἡ σ. 77, ἀλλ' ἐλησμόνησε νὰ γράψῃ ταύτας ἐν αὐτῇ ταύτῃ. [2] ἀπεφήγαντο [3] λαρίσσης

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ πλείστας καὶ καλλίστας συνέταξεν ἐπιστολὰς διά τε τὸ ἐγγὺς τῆς αὐτοῦ ἐπαρχίας οἰκεῖν καὶ διακομιστῶν ὁπότε βούλοιτο εὐπορεῖν καὶ διὰ τὸ πολλὴν πρὸς αὐτὸν τὴν φιλίαν σώζειν καὶ τὴν εὐλάβειαν, ὥςτε καὶ ἐπὶ Λάρισαν [1] ἐλθεῖν ποτε μετὰ πολλῆς τῆς παρακλήσεως αὐτὸν μεταπέμψασθαι [2] καὶ τήν τε Τρίκκην καὶ τὸν Τούρναβον μετ' αὐτοῦ περιοδεῦσαι καὶ ὅπῃ περ ἂν αὐτῷ κρεῖττον δόξειε μεῖναι καὶ σὺν αὐτῷ εἶναι παρακαλεῖν.

Ἀλλ' οὗτος τὴν ὑπὲρ πάντα φίλην αὐτῷ ἡσυχίαν ἀσπαζόμενος, τὴν ταχίστην [3] ὑποστρέφειν ἐπὶ τὴν Γοῦβαν ἔσπευδε, πασῶν τούτων προτιμοτέραν ἡγούμενος. Πολλοὶ || δὲ καὶ ἕτεροι τῶν ἀρχιερέων ἐπὶ σ. 79
τὰς μητροπόλεις αὐτῶν πολλάκις αὐτὸν ἐκάλουν, πᾶσαν αὐτῷ θεραπείαν ὑπισχνούμενοι καὶ τιμήν· ἐξ ὧν καὶ ὁ προρρηθεὶς Βαρθολομαῖος ὁ Ναυπάκτου καὶ Ἄρτης, ἡνίκα τὸν Γρηγόριον ἦλθε ζητῶν παρ' αὐτοῦ προστάτην τῆς ἐν τῇ Ἄρτῃ καταστῆσαι σχολῆς πρὸ τοῦ γενέσθαι τὴν ἐν τῷ Ἀνατολικῷ. Πρὸς ὃ καὶ ἐπένευσεν, ἀλλ' οὐ πλείονα χρόνον ἔτους ἑνὸς τὴν ἐκεῖσε ποιῆσαι διατριβήν, εἶτα πρὸς αὐτὸν ἀνακάμψαι τοῦτον δεόμενον· εἵλετο γὰρ μᾶλλον παραρριπτεῖσθαι καὶ συγκακουχεῖσθαι τοῖς ἐν τοῖς δυςβάτοις καὶ ἀκάρποις ὄρεσι τῶν Ἀγράφων οἰκοῦσι καὶ ἡσυχίας ἀπολαύειν διηνεκοῦς ἢ κατὰ τὰς εὐρείας καὶ πολλαῖς περιρρεομένας τῶν πόλεων ἀφθονίαις ἐν πολλοῖς ἀναστρέφεσθαι τοῖς θορύβοις.

Ἦν δὲ ὁ τῶν ἐπιστολῶν αὐτοῦ χαρακτὴρ ἐν μὲν ταῖς κατὰ φράσιν συντεταγμέναις ἑλληνικὴν τῷ τοῦ Κορυδαλλέως προςεοικώς, εἰ καὶ μὴ πᾶσαν εἶχε τὴν ἐκείνου ἰσχύν, ἐν δὲ ταῖς κατὰ τὸν ἁπλοῦν καὶ ἰδιωτικὸν τρόπον σοφῆς μελίττης ἀποστάζων γλυκύτητα· καὶ αὗται μᾶλλον ἐκείνων παρὰ πάντων σοφῶν τε καὶ ἰδιωτῶν ἐθαυμάζοντο κάλλους ἕνεκα καὶ ἤθους κατασκευῆς· καὶ οὐκ ἔστιν ὅςτις ἐπιστολὴν τούτου εὑρών, ὁπωςδήπουσαν ἔχουσαν, μὴ || μετὰ πολλῆς ἐγκολπώ- σ. 80
σασθαι τῆς προθυμίας καὶ ἡδονῆς. Καὶ οὕτω μὲν ἐγίνετο πανταχοῦ δι' αὐτῶν· πολλοὺς δὲ καὶ ἐκ πολλῶν ἠλευθέρου κακῶν ψυχικῶν ὁμοῦ καὶ σωματικῶν, καὶ τοῦτο ἦν αὐτῷ μᾶλλον τὸ σπουδαζόμενον μέχρι τελευταίας ἀναπνοῆς.

Ἐνταῦθα δὲ γενόμενος τοῦ λόγου, καὶ οἷον περὶ αὐτὸ τὸ τέλος εἰπεῖν, οὐκ ἄξιόν μοι δοκεῖ καὶ τὸν ἐν τῇ ἰδίᾳ πατρίδι (φημὶ τῷ Με-

[1] λάρισσαν [2] μεταπέμψεσθαι [3] σταχίστην

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΔΙΕΥΘΥΝΣΗ ... ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γάλῳ δένδρῳ) παρ' αὐτοῦ κτισθέντα ναὸν ἀμνημόνευτον παριδεῖν καὶ μηδενὸς ἀξιῶσαι λόγου. Πολλὴν γὰρ εἶχεν ἐκ πολλοῦ τρέφων ἐν ἑαυτῷ τὴν ἔφεσιν ἴσον [1] καὶ μεγέθει καὶ σχήματι τῷ ἐν Καρπενησίῳ παρ' αὐτοῦ πρότερον οἰκοδομηθέντι καὶ κατὰ τὴν ἑαυτοῦ πατρίδα κτίσαι ναόν. Ἦν δέ τις ἐκεῖσε βραχὺς πάνυ καὶ κάλλους ἀπηλλαγμένος παντός, ἐπ' ὀνόματι τιμώμενος τῶν τῆς Θεομήτορος εἰσοδίων. Τοῦτον ἔγνωκεν ἀνακτίσαι καὶ εἰς τὸ προρρηθὲν ἀναγαγεῖν καὶ σχῆμα καὶ μέγεθος. Τὸ δὲ οὐκ ἄλλοτέ ποτε τοῦτο αὐτῷ ἐξεγένετο, καίτοι λίαν προθυμουμένῳ, εἰ μὴ περὶ αὐτὰς τὰς τοῦ βίου δυσμάς. Καὶ δὴ βουλῆς αὐτῷ καὶ σκέψεως πρότερον γενομένης, καὶ τὸ ἔργον αὐτίκα ταύτῃ ἐπηκολούθει. Δοὺς τοίνυν ὅσον ἱκανὸν ἦν εἴς τε τὸν τῶν τοίχων καὶ τὸν τῆς ὀροφῆς τούτου ἀπαρτισμόν, ἀνεκτίσθη μὲν ὁ ναός, οὐ μὴν δὲ
σ. 81 καὶ κατὰ πάντα τῷ ἀρχετύπῳ || παρεμφερής, ἀμελείᾳ τε ἅμα καὶ μοχθηρίᾳ τῇ τῶν ἐπιστατούντων· οὐδὲ γὰρ ἠδύνατο τῷ τόπῳ τὰς ὄψεις αὐτὸς οὕτος ἐπιβαλεῖν καὶ ὡς ἦν αὐτῷ καταθύμιον κελεῦσαι γενέσθαι. Πέρας μέντοι τὸ οἱονοῦν ἐδέξατο, καὶ ἥδετο τοῦτο μαθὼν καθ' ὑπερβολήν. Εἶτα καὶ περὶ τῶν ἐντὸς ἤρξατο τὰ εἰκότα διανοεῖσθαι, κατὰ πάντα αὐτοῦ τὰ μέρη τοῦτον ὁλόκληρον ἀπεργάσασθαι σπεύδων. Ἐφ' ᾧ καὶ Ἀνανίαν τὸν τῆς Τετάρνης προςκαλεσάμενος καθηγούμενον, ὡς ἐκ τοῦ ἰδίου προσώπου μετὰ τῶν ἀναλωμάτων ἐκεῖσε πέπομφε [2] τὰς μετὰ τῶν τεχνιτῶν συμβάσεις ποιήσασθαι. Τούτου δὲ κατὰ τὴν ἐκείνου κέλευσιν ἐπὶ τὸν ναὸν ἐλθόντος καὶ τὰ προςτεταγμένα αὐτῷ ποιήσαντος καὶ ἐπανελθόντος, οὐδὲν ἧττον ἐκεῖνοι, τῇ ἑαυτῶν μοχθηρίᾳ χρησάμενοι, τὰ μὲν χρήματα κατηνάλωσαν, τὸ δὲ ἔργον ἀτελὲς ἀπέλιπον. Τελευτήσαντος δὲ τούτου, τελευτήσαντος δὲ καὶ τοῦ τῶν τεχνιτῶν ἐκείνων πρωτεύοντος, ἡμιτελὲς ἦν τὸ ἔργον καὶ παρεωραμένον μέχρι καὶ τῆς ἡμῶν ἐπὶ τὸ Ἀνατωλικὸν ἀφίξεως. Ἔχοντες δὲ μετὰ τῶν ἄλλων ἡμεῖς παρ' αὐτοῦ καὶ τὴν περὶ τοῦ ναοῦ τούτου παραγγελίαν καί τινα βραχὺν χρημάτων ἀριθμόν, ὃν ἐπ' αὐτῷ τούτῳ ἡμῖν καταλέλοιπεν, οὐ ταῦτα μόνον εἰς αὐτὸν ἀνηλώκαμεν, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων τινά, καὶ πᾶν ὅ τι χρειῶδες καὶ τῶν ἄλλων
σ. 82 μᾶλλον ἀναγκαιότερον ἦν εἰς τέλος τὸ προςῆκον ἠγάγομεν, || τῷ καθηγητῇ τε καὶ πνευματικῷ πατρὶ καὶ πάντων τῶν καλῶν ἡμῖν μετὰ θεὸν χορηγῷ χαριζόμενοι.

[1] ἶσον [2] πεμπομφε

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τὸ δέ γε εἰς θεοσέβειαν ἧκον αὐτοῦ καὶ δογμάτων ἀκρίβειαν ἴσασι πάντως οἱ μετ' αὐτοῦ τὰς ἐντεύξεις ποιούμενοι καὶ τῆς τούτου διδασκαλίας συνεχῶς κατακούοντες, ὡς οὐδὲ μιᾶς λύμης μέτοχος ἦν τῶν εἴτε λατινικῶν, εἴτε καὶ λουθηρανικῶν εἴτ'[1] οὖν καλουινικῶν φαίης αἱρέσεων, ἀλλὰ καὶ τούτων κἀκείνων[2] ἄσπονδος ἐχθρὸς ἦν, καὶ ἐκ μιᾶς παρῃτεῖτο πάντας, ὡς καί τινος αὐτῷ τῶν φίλων ἀπὸ Κωνσταντινουπόλεως γράψαντος, ὅτι τινὲς τῶν ἀπὸ τῆς τοῦ ἐκ Βερροίας Κυρίλλου φατρίας Καλουῖνον εἶναι τοῦτον ἐπιφημίζουσιν, αὐτὸς ἀντέγραψεν οὐκ οἶδ' ὅ τι καὶ βούλεται τοῦτο σημαίνειν τοὔνομα, ἄρα τῶν χερσαίων τι[3] ζῴων ἐστὶν ἢ τῶν πτηνῶν ἢ τῶν νηκτῶν, ἐδώδιμον ἢ οὐκ ἐδώδιμον, καὶ ὅσα τούτων ἐφάμιλλα. Πρὸς δὲ θεολογίαν εἰ καὶ ἀγύμναστος ἦν, τὴν νεωτέραν ταύτην φημὶ καὶ σχολαστικὴν καλουμένην, πρός μέντοι γε τὴν τῶν θείων πατέρων ἀραρότως εἶχε μάλα καὶ ἐντελῶς, καὶ πολὺς ἦν ταῖς τούτων βίβλοις προσκείμενος, καὶ πᾶν ὅ τι ἂν καὶ λέγειν καὶ γράφειν βούλοιτο οὐκ ἄλλοθέν ποθεν εἰ μὴ παρ' αὐτῶν ἐλάμβανεν, οὐδὲν οὔτε μεταποιῶν, οὔτε παρεξηγούμενος, ἀλλὰ τῇ τε ἱερᾷ καὶ θείᾳ Γραφῇ καὶ τοῖς ταύτης ἐξηγηταῖς καὶ ἁγίοις πατράσι κατ' ἴχνος ἑπόμενος.

|| Περὶ δὲ τῆς τοῦ Κορυδαλλέως ἧς εἶχε γνώμης πολλάκις ἀκηκοὼς σ. 83
ἔτυχον τούτου λέγοντος, ὅτι οὐκ ὀρθοποδῶν ἦν ὅλως πρὸς τὴν ἀλήθειαν. Εἰ γὰρ καὶ μὴ ἀμφοτέραις ταῖς ἰγνύαις, ἀλλὰ γοῦν θατέρᾳ τούτων ἐχώλευε. Τοσοῦτον μόνον τὸ παρ' αὐτοῦ λεγόμενον ἦν, ἀλλ' οὐκ οἶδα πρὸς ὅ τι μᾶλλον ὁ λόγος αὐτῷ ἐφέρετο· ὡς δὲ εἰκάσαι μόνον ἐστὶν, ἐκ μιᾶς ἧς πρὸς αὐτὸν πέπομφεν ἀπὸ Κωνσταντινουπόλεως ἐπιστολῆς, ἐν ᾗ τὴν μετουσίωσιν θεοστυγῆ λέγειν οὐκ ἀναδύεται, εἴτε τὴν λέξιν αὐτὴν καθ' ἑαυτὴν οὕτω καλῶν, εἴτε καὶ τὸ ὑπ' αὐτῆς σημαινόμενον, ἀμφοτέρως οὐ πόρρω ἀσεβείας καθέστηκεν. Ἐν ἑτέραις δὲ τῶν καὶ πρὸς αὐτὸν καὶ πρὸς πολλοὺς ἑτέρους ἐπιστολῶν, πολλῶν καὶ διαφόρων ὄντων, οὐδὲν τοιοῦτον εὑρίσκεται, ἀλλ' οὐδ' ἐν ἑτέροις ὅσα ἡμεῖς ἴσμεν τῶν αὐτοῦ ξυγγραμμάτων[4], εἰ μή τις εἴποι τὰ τὴν ἀριστοτελικὴν ἀναπτύσσοντα ἔννοιαν. Ἀλλὰ περὶ τούτων λόγος οὐδείς· οὐ γὰρ θεολογεῖν αὐτῷ πρόσκειται δι' ἐκείνων, ἀλλὰ φιλοσοφεῖν.

Ἐγὼ δὲ καὶ προορατικοῦ τοῦτον ἰσχυρισαίμην ἂν μετέχειν χαρίσματος. Πρὸ γὰρ χρόνων πολλῶν συνεχῶς καὶ πρὸς ἡμᾶς μὲν τοὺς

[1] ἦτ' [2] κἀκείνων [3] τί [4] ξυγγραματων

ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ... ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗΣ ΣΧΟΛΗΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ΔΩΡΕΑ Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αὐτῷ συνόντας, ἀλλὰ δὴ καὶ πρὸς ἑτέρους τῶν φίλων πολλοὺς οὐκ
ἐπαύετο λέγειν, μάλιστα δὲ τῷ πρώην ἀρχιεπισκόπῳ Φαναρίου καὶ
σ. 84 Νεοχωρίου Ἰωσὴφ τῷ Κοσκολᾷ κατ' ἰδίαν διαλεγόμενος, || ὡς γε-
νήσεταί τις μετὰ τὴν αὐτοῦ ἀποβίωσιν μεγίστη μεταβολή. Ἥτις καὶ
γέγονεν οὐκ εἰς μακρὰν ἀπὸ τῆς αὐτοῦ τελευτῆς, ἀλλ' εὐθὺς μετ'
αὐτήν. Ὁ τε γὰρ καῖσαρ τῆς Γερμανίας, τῶν ἐκ τῆς Ἄγαρ πρότερον
διαλυσάντων τὰς πρὸς αὐτὸν σπονδὰς καὶ μάχης πρὸς αὐτοὺς ἀκη-
ρύκτου κινηθείσης, πολλῶν τε ἐξ ἑκατέρων τῶν μερῶν διαφθαρέντων,
τὴν νικῶσαν δὲ ἀεί [1] τοῦ καίσαρος ἔχοντος, πολλῶν ἐγένετο κύριος
τῶν κατὰ Παννονίαν χωρῶν τε καὶ πόλεων, τόν τε Ἴστρον διαβὰς
μέχρι καὶ αὐτῆς τῆς καλουμένης Βελιγράδης ἀφίκετο, καὶ ταύτην
μετά τινων ἑτέρων τῶν παρ' αὐτῷ τῷ ποταμῷ κειμένων ἑαυτῷ παρε-
στήσατο, εἰ καὶ μετ' οὐ πολὺ ταύτης καὶ μόνης τῶν ἐπὶ τάδε τοῦ
ποταμοῦ οἱ τῆς ἐναντίας μοίρας ἴσχυσαν περιγενέσθαι· τῆς δὲ λοιπῆς
Παννονίας ἁπάσης ὁ καῖσαρ εἴληφε τὴν ἡγεμονίαν, καὶ μέχρι τοῦδε
ὑπ' αὐτὸν οὖσα διατελεῖ. Καὶ ταῦτα μὲν κατὰ τὰ ἄνω μέρη ἐγένοντο
καὶ προσάρκτια.

Ἐκ δὲ τῶν Ἑσπερίων τοῦ στόλου τῶν Ἐνετῶν [2] μετὰ πολλῆς τῆς
παρασκευῆς ἐξελθόντος, ἥ τε Λευκὰς νῆσος μετὰ τῆς Νικοπόλεως ὑπ'
αὐτοὺς παρὰ χρῆμα γίνεται, καὶ μετ' αὐτὴν ἡ περιφανὴς ἅπασα Πε-
λοπόννησος [3], μεθ' ἧς καὶ Ναύπακτος ἡ προκαθεζομένη, καθ' ἅπερ [4]
σ. 85 εἴρηται, τῶν αἰτωλικῶν, καὶ τὸ ταύτης ἐγγὺς κείμενον || φρούριον τὸ
πάλαι Ῥίον καλούμενον. Μετὰ τούτων δὲ καὶ ἡ πρὸ τῆς Ἀττικῆς
νῆσος Αἴγινα καὶ ἡ Ἀττικὴ αὐτη· καὶ μέχρι τῆς κατ' Εὔριπον Εὐ-
βοίας ὁ στόλος μετὰ πολλῆς ἀφίκετο τῆς δυνάμεως. Ἀλλὰ ταύτης,
οὕτω τῇ θείᾳ προνοίᾳ δόξαν, ἀποτετυχηκώς, ὑποτελῆ μετὰ βραχύν
τινα χρόνον Χίον τὴν νῆσον ποιεῖται τῇ τῶν Ἐνετῶν ἀριστοκρατίᾳ,
εἰ καὶ μετὰ μῆνας ἓξ οἱ ἐκ τῆς Ἄγαρ ταύτην αὖθις ἀνέλαβον.

Τούτων δὲ οὕτω γενομένων καὶ τῶν πολέμων ἐξ ἑκατέρων τῶν με-
ρῶν ἔτι καθ' ἅπερ τινῶν θαλαττίων κυμάτων κορυφουμένων, τίς ἂν
ἀξίως ἐκτραγῳδήσειε τὰς ἀνὰ πᾶσαν τὴν Ἑλλάδα γινομένας τότε λεη-
λασίας τε καὶ αἰχμαλωσίας, καὶ μάλιστα κατὰ τὰ ἐγγυτέρω τῆς θα-
λάττης ὄντα χωρία τῶν ληστῶν πάντα κατειληφότων καὶ ἐκδρομὰς

[1] ᾀεὶ [2] (καὶ κατωτέρω) ἐνετῶν [3] πελοπόννησος [4] (καὶ κατωτέρω) καθάπερ

Ε.Υ.Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

συνεχεῖς ἐπὶ τὰ ἀπωτέρω τούτων ποιουμένων καὶ Μυσῶν, ὅ λέγεται, λείαν ταῦτα ἀποτελούντων. Ἡ τῶν Ἀγράφων πᾶσα περιοχὴ τοῦτ' αὐτὸ μικροῦ δεῖν ἐγένετο ἄγραφος, ὡς μηδενὸς λόγου ἀξία καὶ γραφῆς οὖσα, καὶ νῦν εἰςέτι μετὰ τὴν τῶν[1] ὅπλων καταβολὴν καὶ τὰς σπονδὰς τῶν κρατούντων ὑπὸ τοῦ οὐραίου ἔτι κινουμένου συγκινεῖται καὶ πρὸς πανωλεθρίαν κινδυνεύει χωρῆσαι. Τοῦτ' αὐτὸ δὲ καὶ τὸ Καρπενήσιον πέπονθε μετὰ τῶν περὶ αὐτὸ χωρίων, εἰ καὶ μετριώτερον ἐν αὐτοῖς || τοῖς χωρίοις γέγονε τὸ κακόν, ἐξ ὅτου Λιβέριος ὁ ἐκ Λακε- σ. 86
δαιμονίας, μετὰ δυνάμεως κατελθὼν ἐκ βασιλικῶν προσταγμάτων καὶ τὰς τῶν λῃστῶν ἐφόδους ἀναχαιτίζων, μικράν τινα τούτοις ἀναψυχὴν περιεποιήσατο. Τοιαύτη τις ἦν ἡ ἐν τοῖς τῇδε τόποις ὠδίνουσα μὲν τὸ τηνικαῦτα, παρ' αὐτοῦ δὲ προγνωσθεῖσα γενέσθαι μεταβολή. Καὶ οὕτω συνεχῶς ἐλέγετο πρὸ πολλῶν ἐτῶν παρ' αὐτοῦ, εἰ καὶ μὴ πάντα διακριδὸν καὶ κατὰ μοῖραν τὰ συμβησόμενα, ἀλλὰ συγκεχυμένως καὶ ἀορίστως· ἐλέγετο δ' οὖν ὅμως, καὶ τὸ πέρας ἡμεῖς τούτων ἐθεασάμεθα, καὶ πεῖραν ἱκανὴν τῶν ἀπὸ ταύτης κακῶν ἐλάβομεν καὶ οὐδὲ μέχρι τοῦ νῦν ἀπηλλαγμένοι πάντῃ τούτων ἐσμέν, εἰ καὶ συμβάσεις ἐγένοντο καὶ πανταχοῦ τὰ τῆς εἰρήνης ἀνεκηρύχθη καὶ μετὰ τῶν ἄλλων πάντων κακῶν καὶ οἱ μοναχοὶ φόρου κατέστησαν ἔκτοτε τῇ τυραννίδι ὑποτελεῖς, ὅπερ οὔτ' ἐγένετο πώποτε, οὔτε παρ' ἡμῶν, οὔτε παρ' ἄλλων ἤκουσται γενέσθαι, ὥςτε καὶ ἐπὶ πολλοὺς διαρκέσαι χρόνους, οἷά που γέγονε τό γε νῦν ἔχον.

Καὶ τοιοῦτος μὲν ὡς ἐν βραχυτάτοις κατά τε πρᾶξιν καὶ θεωρίαν καὶ ἁπλῶς εἰπεῖν κατὰ πάσας αὐτοῦ τὰς ψυχικὰς ἀρετὰς ἐτύγχανεν ὢν ὁ θαυμάσιος οὗτος ἀνήρ. Κατὰ δὲ τὴν ἰδέαν τοῦ σώματος (ἵνα μὴ καὶ τούτου || παντάπασιν ἀμνημονήσωμεν) τὴν ἡλικίαν μέτριος ἦν, σ. 87
καὶ οὔτε λίαν παχύς, οὔτε λίαν ἰσχνός, ἀλλὰ τῆς μεταξὺ τούτων οὔσης μετέχων κράσεως, τὸ σῶμα πᾶν ἀσθενὴς καὶ βραχύ τι προςκεκυφὸς[2], κεφαλὴν ἔχων μεγάλην, τοὺς ὀφθαλμοὺς γλαυκούς, τὰς ὀφρῦς δασείας, τὴν ῥῖνα[3] μικρόν τι πρὸς τὸ σιμὸν ἀποκλίνουσαν ὑποφαίνων· ὦτα τῇ κεφαλῇ ἀναλόγως ἔχοντα· τὰς παρειὰς σὺν τῷ λευκῷ καὶ τὸ ἐρυθρὸν ἐπιπολάζον ἐχούσας, χείλη παχύτερα, πώγωνι τὰς σιαγόνας πυκαζόμενος, τῷ τοῦ Θεολόγου ἢ τῷ τοῦ Ἀθανασίου τοῦ

[1] τῶν προστεθειμένον χειρὶ νεωτέρᾳ ἐν τῇ ᾤᾳ

[2] προςκεκυφὸς κατὰ διόρθωσιν ἐκ τοῦ τὸ πρῶτον γραφέντος προςκεκυφὼς

[3] ῥίνα

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΙΔΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μεγάλου μᾶλλον ἐμφερῶς ἔχοντι. Τινὲς δὲ αὐτὸν κατὰ πάντα ὅμοιον ἔλεγον εἶναι τὸν τοῦ σώματος τύπον Νεκταρίῳ τῷ τῶν Ἱεροσολύμων μακαριωτάτῳ πατριάρχῃ, τοῦτον κἀκεῖνον [1] αὐταῖς ὄψεσιν ἰδεῖν καταξιωθέντες καὶ ἀμφοτέρων ἐν πείρᾳ τῆς ὁμιλίας γενόμενοι.

Μικρὸν δὲ πάνυ νοσήσας καὶ πυρετῷ μόνον ἑνὶ ληφθείς, καταλύει τὸν βίον ἐν αὐτῷ τῷ τῆς ἁγίας ὁσιομάρτυρος Παρασκευῆς μονυδρίῳ τῷ [2] ἐν Βρανιανοῖς, ἔτει τῷ ἀπὸ τῆς ἐνσάρκου οἰκονομίας χιλιοστῷ ἑξακοσιοστῷ ὀγδοηκοστῷ δευτέρῳ, Αὐγούστου μηνὸς πέμπτην ἡμέραν ἄγοντος καθ' ὥραν πρώτην ἢ δευτέραν τῆς μετ' αὐτὴν
σ. 88 νυκτός, καθ' ἣν τῆς τοῦ || κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ φαιδροτάτης Μεταμορφώσεως τὴν πανήγυριν ἄγομεν, καὶ θάπτεται κατ' αὐτὴν τὴν ἡμέραν ἐντίμως τε καὶ λαμπρῶς παρ' ἡμῶν τε καὶ ἑτέρων τῶν τότε παρευρεθέντων αὐτοῦ φοιτητῶν ἐν τῷ πρὸ πολλῶν ἐτῶν, ὡς ἔφημεν, παρ' αὐτοῦ σχεδιασθέντι μνημείῳ, καὶ εἰς τὴν ἀγήρω ζωὴν μετατίθεται, λαμπρῶς τῷ λαμπρῷ καὶ θείῳ φωτὶ παριστάμενος. Ὧ δόξα πρέπει καὶ τιμὴ καὶ προσκύνησις ἐπ' ἀϊδίους αἰῶνας, ἀμήν.

Ἔστι δὲ καὶ ἐπιτάφιον αὐτῷ παρ' ἡμῶν πεποιημένον τόδε·

Ἐνθάδε Εὐγενίοιο μεγακλέος ἀνέρος ἐσθλοῦ
κεῖται ἐπ' εὐσεβίῃ σῶμα μέγ' εὐγενέος.

Γέγραπταί μοι ὁ βίος οὗτος κατὰ τὸ ‚αψγ'ον ἀπὸ Χριστοῦ Ἰουνίου λη̄ ἐν τῷ Ἀνατωλικῷ τῆς Αἰτωλίας.

Τοιοῦτος ὁ ὑπὸ Ἀναστασίου τοῦ Γορδίου γραφεὶς βίος Εὐγενίου τοῦ Αἰτωλοῦ. Εἰς ἐπίμετρον δ' αὐτοῦ προσθέτω ἐνταῦθα Ὀνειροκριτικὸν τοῦ αὐτοῦ συγγραφέως, ἀνέκδοτον μὲν μέχρι τοῦδε, σωζόμενον δ' ἐν κώδικι, ὃν πρὸ μικροῦ χρόνου ἐδωρήσατο εἰς τὴν ἐνταῦθα Ἱστορικὴν καὶ ἐθνολογικὴν ἑταιρείαν ὁ ἐν τῷ Ὠδείῳ Ἀθηνῶν καθηγητὴς τῆς βυζαντιακῆς μουσικῆς κ. Κ. Ψάχος. Καὶ ὁ μὲν κῶδιξ ἐγράφη τὸν δέκατον ὄγδοον αἰῶνα, τὸ δὲ Ὀνειροκριτικὸν τοῦ Ἀναστασίου Γορδίου, ἐντεταμένον

[1] κᾀκεῖνον    [2] τῷ διωρθωμένον χειρὶ νεωτέρᾳ εἰς τῶν

ΕΡΓΑΣΤΗΡΙΟ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΠΟΛΙΤΙΣΜΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰς στίχους ἰαμβικούς, εἶνε γεγραμμένον κατὰ στοιχεῖον, ἀλλὰ σώζεται μόνον μέχρι καὶ τοῦ γράμματος Ν, ἔχον ὧδε·

Ὀνείρων κρίσεις διὰ στίχων[1] ἰαμβικῶν
κατὰ στοιχεῖον συλλεχθεῖσαι παρὰ Ἀναστασίου
ἱερομονάχου τοῦ Γορδίου.

α

Ἄνθραξι βαίνειν, ἐχθρικὴν δηλοῖ βλάβην.

β

Βαίνων κεράμους, δυσμενῶν βλάβας φύγοις.
Βότρυς κατέσθειν, ὀμβρικὴν δηλοῖ κλύσιν.
Βρονταὶ καθ' ὕπνους, ἀγγέλων εἰσὶ λόγοι.
Βρῶσις σύκων, δείκνυσι φληνάφων ψόγους.

γ

Γάλα σκεδάζει δυσμενῶν συμβουλίας.
Γάλα γαληνῶν πρόξενον[2] πέλει τρόπων.
Γελῶν καθ' ὕπνους, δυςφόρους ἕξεις τρόπους.
Γέροντα σαυτὸν εἰ βλέπεις, ἕξεις γέρας.
Γυμνὸς καθεσθείς, σῶν ὑπεκστῇς πραγμάτων.

δ

Δυςωδίαν νόμιζε τὴν ἀηδίαν.

ε

Ἔκδηλός ἐστι[3] βόρβορος ψυχῆς ῥύπος.
Εὔχρηστον ἀνδρὶ συμπλακῆναι φιλτάτῳ.
Ἐκκλησίαις ἑστῶσιν ἔγκλησιν[4] φέρει.

ζ

Ζώνη κοπεῖσα[5], τὴν ὁδὸν λύει τάχος.

η

Ἥλους κρατῶν, τὰ κέντρα τῶν ἐχθρῶν βλέπε.

θ

Θάλατταν ἰδεῖν μειδιῶσαν, εὔθετον.

[1] διαστίχων [2] πρόξενων [3] ἔκδηλος ἐστι ὧν μεταξὺ φαν διαγεγραμμένον [4] ἑστῶσιν ἔγλησιν [5] κοπῆσα



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Ε.Π.Ε.Α.Ε.Κ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

Θανὼν καθ' ὕπνους, φροντίδων ἔσῃ δίχα.
Θνῆξις θαλάσσης ἀγρίας δηλοῖ λύπας.
Θνῆξις θαλάσσης, ἡμέρας τοὔναρ [1] καλόν.
Θρίδακας ἔσθειν, σωμάτων δηλοῖ νόσον.

ι

Ἰλὺν [2] πεπλευκώς, τοῦ νοὸς νόει βλάβην [3].
Ἵππους μελάνους, οὐ καλὸν πάντως βλέπειν.
Ἵππων δὲ λευκῶν ὄψις, ἀγγέλων φάσις.

κ

Κλαπεῖσα ῥάβδος, οὐ καλὸν φέρει πέρας.
Κερδοῖ συνών τε, κερδοσύνην προςδόκα
Κίρκους κατασχὼν, οὐ θέλεις πάντως τύχοις.
Κόπρῳ καθεσθείς, ζημίας ἕξεις τρόπους.
Κρημνοῦ πεσόντα, δυστυχῆ δηλοῖ τύχην
Κυνῶν ὑλαγμός, ἐχθρικὴν δηλοῖ βλάβην.

λ

Λάκκῳ καθεῖναι σαυτόν, οὐ καλὸν τόδε.
Λέοντας ἰδεῖν, δυςμενῶν δηλοῖ μάχας.
Λευκὰς ὁρᾶν τὰς σάρκας, εὔθετον λίαν.
Λύκος κεχηνώς, φληνάφους δηλοῖ [4] τρόπους.

μ

Μαργαρῖται δηλοῦσι δακρύων ῥόον.
Μάχην μάχαιρα [5] ζωγραφεῖ κρατουμένην.
Μητρὶ πλακῆναι [6] καλὸν ἐς ὄναρ τόδε.
Μῦς δ' αὖ φανείς, [7] ἔνδολος ἐν τρόποις πέλει.

ν

Νεκροὺς ὁρῶν, νέκρωσιν ἕξεις [8] πραγμάτων.
Νηνησμένα (;) κρατεῖν δε προςδόκα λύπας.

. . . . . . . . . . . . . .

[1] τοὔναρ [2] ἰλὺν [3] βλάβειν [4] δηλοι [5] μάχαιραν [6] πλακῖναι [7] φανεῖς [8] ἔξεις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006